τάγμα ἐκ τοῦ οὐρανοῦ κατερχόμενον κατὰ πρόσταξιν Θεοῦ,
(a)-band from the heaven coming-down by command of-God
ἔχον ἐπὶ χεῖρας κεφαλίδα, τουτέστι τόμον γεγραμμένον
having in (their)-hands (a)-roll that-is (a)-volume written
ἔσωθεν καὶ ἔξωθεν· καὶ ἔλεγον πρὸς ἀλλήλους· Τίς ὀφείλει
within and without and they-said to each-other who ought

τοῦτο ἐγχειρισθῆναι; Καὶ οἱ μὲν ἔλεγον, Ὅσδε· οἱ δὲ
this to-be-entrusted-with and some indeed said this-one others and
ἔλεγον ἕτερον. Ἀπεκρίθησαν δὲ καὶ εἶπον· Ἀληθῶς ἅγιοί
said another they-answered and also said truly holy
εἰσι καὶ δίκαιοι· πλὴν τοῦτο οὐδεὶς δύναται ἐγχειρισθῆναι,
they-are and righteous but this no-one can be-entrusted-with
εἰ μὴ Ἐφραίμ. Καὶ ὁρᾷ ὁ γέρων ὅτι τῷ Ἐφραὶμ
if not Ephrem and sees the old-man that — to-Ephrem
ἐπέδωκαν τὴν κεφαλίδα· καὶ ἀναστὰς πρωΐ, ἤκουσε τοῦ
they-gave the roll and having-risen at-dawn he-heard —
Ἐφραὶμ ὥσπερ πηγὴν βρύουσαν ἐκ τοῦ στόματος αὐτοῦ
Ephrem as-it-were (a)-spring gushing from the mouth his
καὶ συντάσσοντος, καὶ ἔγνω ὅτι ἐκ Πνεύματος ἁγίου
and composing and he-knew that from (the)-Spirit holy
ἐστὶ τὰ ἐκπορευόμενα διὰ χειλέων Ἐφραίμ.
are the(-things) going-out through (the)-lips of-Ephrem

3 Ἄλλοτε πάλιν παριόντος τοῦ Ἐφραὶμ, ἐξ ὑποβολῆς τινος
another-time again passing-by — Ephrem at (the)-instigation of-someone
ἔρχεται μία ἑταιρὶς κολακεύειν αὐτὸν εἰς αἰσχρὰν μίξιν, εἰ δὲ
comes one harlot to-cajole him into shameful intercourse if but
μὴ, κἂν εἰς ἀγανάκτησιν κινῆσαι αὐτὸν, ὅτι οὐδέποτέ τις
not at-least to anger to-move him because never anyone
εἶδεν αὐτὸν ὀργιζόμενον. Καὶ λέγει πρὸς αὐτήν· Ἀκολούθει
saw him angry and he-says to her follow
μοι· πλησιάσας δὲ τόπῳ πολυοχλουμένῳ, εἶπεν αὐτῇ· Ἐν
me having-approached and (a)-place much-crowded he-said to-her in
τῷ τόπῳ τούτῳ δεῦρο καθὼς ἠθέλησας. Ἐκείνη δὲ θεασαμένη
the place this come as you-wished she and having-beheld
τὸν ὄχλον, λέγει αὐτῷ· Πῶς δυνάμεθα τοῦτο ποιῆσαι,
the crowd says to-him how can-we this do
τοσούτου ὄχλου ἑστῶτος, καὶ οὐκ αἰσχυνόμεθα; Ὁ δὲ λέγει
so-great (a)-crowd standing and not are-we-ashamed he and says

πρὸς αὐτήν· Εἰ ἀνθρώπους αἰσχυνόμεθα, πολλῷ μᾶλλον
to her if men we-are-ashamed-before by-much more
ὀφείλομεν αἰσχύνεσθαι τὸν Θεὸν, τὸν τὰ κρυπτὰ τοῦ
we-ought to-be-ashamed-before — God the(-one) the hidden(-things) of-the
σκότους ἐλέγχοντα. Ἡ δὲ ἐντραπεῖσα ἀπῆλθεν ἄπρακτος.
darkness exposing she and having-been-shamed went-away having-done-nothing

XXVII · EUCHARISTUS THE LAYMAN

Two Fathers are told that a layman in an Egyptian village has passed their measure, and find that Eucharistus and his wife give a third of their flock's yield to the poor, a third to guests, and live as virgins.

Δύο τῶν Πατέρων παρεκάλεσαν τὸν Θεὸν, ἵνα πληροφορήσῃ 1
two of-the Fathers besought — God that he-might-assure
αὐτοὺς, εἰς ποῖον ἔφθασαν μέτρον. Καὶ ἦλθεν αὐτοῖς
them to what-kind-of they-had-reached measure and came to-them
φωνὴ λέγουσα· Εἰς τήνδε τὴν κώμην τῆς Αἰγύπτου ἐστί
(a)-voice saying in this the village — of-Egypt is
τις κοσμικὸς Εὐχάριστος ὀνόματι, καὶ ἡ γυνὴ αὐτοῦ
a-certain worldling Eucharistus by-name and the wife his
καλεῖται Μαρία· οὔπω ἤλθετε ὑμεῖς εἰς τὰ μέτρα αὐτῶν.
is-called Mary not-yet came you to the measures their
Καὶ ἀναστάντες οἱ δύο γέροντες, ἦλθον εἰς τὴν κώμην· καὶ
and having-risen the two old-men came to the village and
ἐρωτήσαντες, εὗρον τὸ κελλίον αὐτοῦ καὶ τὴν γυναῖκα
having-asked they-found the cell his and the wife
αὐτοῦ· καὶ λέγουσιν αὐτῇ· Ποῦ ἔστι ὁ ἀνήρ σου; Ἡ δὲ
his and they-say to-her where is the husband your she and
εἶπεν· Ποιμήν ἐστι, καὶ βόσκει τὰ πρόβατα. Καὶ εἰσήγαγεν
said (a)-shepherd he-is and he-pastures the sheep and she-brought-in

αὐτοὺς εἰς τὸ κελλίον αὐτοῦ. Ὡς δὲ ὀψία ἐγένετο, ἦλθεν
them into the cell his when and evening became came
ὁ Εὐχάριστος μετὰ τῶν προβάτων· καὶ ἰδὼν τοὺς
— Eucharistus with the sheep and having-seen the
γέροντας, ἡτοίμασεν αὐτοῖς τράπεζαν, καὶ ἤνεγκεν ὕδωρ
old-men he-prepared for-them (a)-table and brought water
νίψαι τοὺς πόδας αὐτῶν. Καὶ λέγουσιν αὐτῷ οἱ γέροντες·
to-wash the feet their and they-say to-him the old-men
Οὐ μὴ γευσώμεθά τινος, ἐὰν μὴ ἀναγγείλῃς ἡμῖν τὴν
not — we-will-taste anything unless — you-tell us the
ἐργασίαν σου. Ὁ δὲ Εὐχάριστος μετὰ ταπεινοφροσύνης
work your — and Eucharistus with humility
εἶπεν· Ἐγὼ ποιμήν εἰμι, καὶ αὕτη ἐστὶν ἡ γυνή μου. Οἱ δὲ
said I (a)-shepherd am and this is the wife my the but
γέροντες ἐπέμειναν παρακαλοῦντες αὐτὸν, καὶ οὐκ ἠθέλησε
old-men persisted beseeching him and not he-wished
εἰπεῖν. Καὶ εἶπον αὐτῷ· Ὁ Θεὸς ἔπεμψεν ἡμᾶς πρὸς
to-tell and they-said to-him — God sent us to
σέ. Ὡς δὲ ἤκουσε τὸν λόγον τοῦτον, ἐφοβήθη, καὶ εἶπεν
you when and he-heard the word this he-feared and said
αὐτοῖς· Ἰδοὺ τὰ πρόβατα ταῦτα ἔχομεν ἀπὸ τῶν γονέων
to-them behold the sheep these we-have from the parents
ἡμῶν· καὶ εἴ τι δ' ἂν εὐοδώσῃ ὁ Κύριος εἰσοδιάσαι
our and if anything and — may-prosper the Lord to-bring-in
ἐξ αὐτῶν, ποιοῦμεν εἰς τρία μέρη· μέρος ἓν τοῖς πτωχοῖς,
from them we-make into three parts part one for-the poor
καὶ μέρος ἓν εἰς τὴν φιλοξενίαν, καὶ τὸ τρίτον μέρος εἰς
and part one for the hospitality and the third part for
τὴν χρείαν ἡμῶν. Ἀφ' οὗ δὲ ἔλαβον τὴν γυναῖκά μου,
the need our since which and I-took the wife my
οὐκ ἐμιάνθην οὔτε ἐγὼ οὔτε αὐτὴ, ἀλλὰ παρθένος ἐστί·
not was-defiled neither I nor she but (a)-virgin she-is

καὶ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν καθεύδει· τὴν δὲ νύκτα
and each of-us by himself sleeps the and night
φοροῦμεν σάκκους, καὶ τὴν ἡμέραν τὰ ἱμάτια ἡμῶν. Ἕως
we-wear sackcloths and the day the garments our until
ἄρτι ἀνθρώπων οὐδεὶς ταῦτα ἔγνωκεν. Καὶ ἀκούσαντες
now of-men no-one these(-things) has-known and having-heard
ἐθαύμασαν, καὶ ἀνεχώρησαν δοξάζοντες τὸν Θεόν.
they-marveled and withdrew glorifying — God

XXVIII · EULOGIUS THE PRIEST

Eulogius, an ascetic priest who eats only bread and salt, visits Joseph of Panepho expecting a stricter rule and finds his hosts eating freely and seemingly never praying; lost in a fog, he returns to hear them chanting in secret and tastes the brackish water they really drink, and learns to eat what is set before him and to work in hiding.

Εὐλόγιός τις μαθητὴς γενόμενος τοῦ μακαρίου Ἰωάννου 1
Eulogius a-certain (a)-disciple having-become of-the blessed John
τοῦ ἐπισκόπου, πρεσβύτερος καὶ ἀσκητὴς μέγας, νηστεύων
the bishop (a)-priest and (an)-ascetic great fasting
δύο δύο, πολλάκις δὲ καὶ τὴν ἑβδομάδα ἕλκων,
two(-days) two(-days) often and even the week drawing-out
ἄρτον μόνον ἐσθίων καὶ ἅλας, ἐδοξάζετο ὑπὸ τῶν
bread only eating and salt was-glorified by the
ἀνθρώπων. Παρέβαλε δὲ τῷ ἀββᾷ Ἰωσὴφ εἰς τὴν
men he-visited and — to-abba Joseph in —
Πανεφὼ, προσδοκῶν τι πλέον σκληραγωγίαν ἰδεῖν παρ'
Panepho expecting some more austerity to-see with
αὐτῷ. Καὶ δεξάμενος αὐτὸν ὁ γέρων μετὰ χαρᾶς, εἴ τι
him and having-received him the old-man with joy if anything

δ' ἂν εἶχεν ἐποίησε παράκλησιν γενέσθαι. Καὶ λέγουσιν
and — he-had he-made comfort to-be-made and say
οἱ μαθηταὶ Εὐλογίου· Οὐκ ἐσθίει πρεσβύτερος πλὴν ἄρτου
the disciples of-Eulogius not eats (the)-priest except bread
καὶ ἅλατος. Ὁ δὲ ἀββᾶς Ἰωσὴφ σιωπῶν ἔτρωγε. Καὶ
and salt — and abba Joseph being-silent ate and
ποιήσαντες ἡμέρας τρεῖς, οὐκ ἤκουσαν αὐτῶν ψαλλόντων
having-spent days three not they-heard them chanting
ἢ εὐχομένων· κρυπτὴ γὰρ ἦν ἡ ἐργασία αὐτῶν. Καὶ
or praying hidden for was the work their and
ἐξῆλθον μὴ ὠφεληθέντες. Κατ' οἰκονομίαν δὲ γίνεται
they-went-out not having-been-benefited by dispensation and comes
γνόφος, καὶ πλανηθέντες ὑπέστρεψαν πρὸς τὸν γέροντα.
(a)-fog and having-strayed they-returned to the old-man
Καὶ πρὶν αὐτοὺς κροῦσαι, ἤκουσαν αὐτῶν ψαλλόντων·
and before they to-knock they-heard them chanting
καὶ μείναντες ἐπὶ πολὺ, ὕστερον ἔκρουσαν. Οἱ δὲ
and having-remained for long later they-knocked they and
σιωπήσαντες ἀπὸ ψαλμῳδίας, ἐδέξαντο αὐτοὺς χαίροντες.
having-fallen-silent from psalmody received them rejoicing
Καὶ διὰ τὸν καύσωνα, ἔβαλον οἱ μαθηταὶ Εὐλογίου εἰς
and because-of the heat put the disciples of-Eulogius into
τὸ βαυκάλιον ὕδωρ, καὶ ἔδωκαν αὐτῷ· ἦν δὲ μεμιγμένον
the flask water and gave-it to-him it-was and mixed
τῆς θαλάσσης καὶ τοῦ ποταμοῦ· καὶ οὐκ ἠδυνήθη πιεῖν. Καὶ
of-the sea and of-the river and not he-could drink and
ἐν ἑαυτῷ γενόμενος, προσέπεσε τῷ γέροντι μαθεῖν θέλων
in himself having-come he-fell-before the old-man to-learn wishing
τὴν διαγωγὴν αὐτοῦ, λέγων· Ἀββᾶ, τί ἐστι τοῦτο; ὅτι τὸ
the conduct his saying abba what is this that the
πρῶτον οὐκ ἐψάλλετε, ἀλλὰ νῦν μετὰ τὸ ἐξελθεῖν ἡμᾶς·
first not you-chanted but now after the to-go-out us

καὶ τὸ βαυκάλιον δὲ νῦν λαβὼν, εὗρον τὸ ὕδωρ ἁλμυρόν.
and the flask and now having-taken I-found the water salty
Λέγει αὐτῷ ὁ γέρων· Ὁ ἀδελφὸς σαλός ἐστι, καὶ κατὰ
says to-him the old-man the brother crazed is and by
πλάνην ἔμιξεν αὐτὸ θαλάσσιον. Ὁ δὲ Εὐλόγιος παρεκάλει
mistake mixed it with-sea-water — and Eulogius besought
τὸν γέροντα, θέλων μαθεῖν τὴν ἀλήθειαν. Καὶ λέγει αὐτῷ
the old-man wishing to-learn the truth and says to-him
ὁ γέρων· Ἐκεῖνο τὸ μικρὸν ποτήριον τοῦ οἴνου, τῆς
the old-man that the small cup of-the wine of-the
ἀγάπης ἦν· τοῦτο δὲ τὸ ὕδωρ, ὃ πίνουσιν οἱ ἀδελφοὶ
love was this but the water which drink the brothers
διαπαντός. Καὶ ἐδίδαξεν αὐτὸν τὴν διάκρισιν τῶν λογισμῶν,
continually and he-taught him the discernment of-the thoughts
καὶ ἔκοψεν ἀπ᾽ αὐτοῦ πάντα τὰ ἀνθρώπινα. Καὶ γέγονεν
and cut-off from him all the human(-ways) and he-became
οἰκονομικός· καὶ λοιπὸν ἤσθιε πάντα τὰ παρατιθέμενα,
accommodating and thereafter he-ate all the(-things) set-before-him
καὶ ἔμαθε καὶ αὐτὸς ἐν τῷ κρυπτῷ ἐργάζεσθαι, καὶ εἶπε
and learned also he in the hidden to-work and said
τῷ γέροντι· Ὄντως ἐν ἀληθείᾳ ἐστὶν ἡ ἐργασία ὑμῶν.
to-the old-man truly in truth is the work your

Euprepius tells the monk to believe God works signs in his own affairs, and runs after the robbers who have left his staff behind. He would have the monk eat, wear, and sleep on grass with a heart of iron, and as a beginner is taught by an old man never to speak before he is asked.

1 Εἶπεν ὁ ἀββᾶς Εὐπρέπιος· Ἔχων, φησὶν, ἐν ἑαυτῷ, εἶναι
said — abba Euprepius having he-says in yourself to-be
πιστὸν τὸν Θεὸν καὶ δυνατὸν, πίστευε εἰς αὐτὸν, καὶ
faithful — God and powerful believe in him and
μεθέξεις τῶν αὐτοῦ. Εἰ δὲ ὀλιγωρεῖς, οὐ πιστεύεις. Καὶ
you-will-share of-the(-things) his if but you-are-negligent not you-believe and
ὅτι πάντες πιστεύομεν δυνατὸν αὐτὸν εἶναι, καὶ πιστεύομεν
that all we-believe powerful him to-be and we-believe
ὅτι πάντα αὐτῷ ἐστι δυνατά. Ἀλλὰ καὶ ἐν τοῖς σοῖς
that all(-things) for-him are possible but also in the your
πίστευε ἐν αὐτῷ πράγμασιν, ὅτι καὶ ἐν σοὶ ποιεῖ σημεῖα.
believe in him matters that also in you he-does signs
2 Ὁ αὐτὸς συλούμενος συνεπῆρεν αὐτοῖς. Μετὰ δὲ τὸ
the same being-robbed helped-carry-off with-them after and the
ἀποβαστάξαι αὐτοὺς τὰ ἔνδον κείμενα, καταλειψάντων
to-carry-away them the(-things) inside lying having-left
αὐτῶν τὴν ῥάβδον ἑαυτοῦ, ὡς ταύτην ἐθεάσατο ὁ ἀββᾶς
they the staff his-own when this beheld — abba
Εὐπρέπιος, ἠχθέσθη· καὶ λαβὼν ἐπέτρεχε, βουλόμενος
Euprepius he-was-grieved and having-taken-it he-ran-after wishing
ἀποδοῦναι. Τῶν δὲ μὴ θελόντων δέξασθαι, ἀλλὰ δεδιότων
to-give-back they and not wishing to-receive-it but fearing

μὴ ἄρα τι γέγονεν, περιτυχὼν τισι, ἠξίου ἀποδοθῆναι
lest perhaps something had-happened having-met some he-asked to-be-given-back
δι᾽ αὐτῶν ῥάβδον, τὴν αὐτὴν ὁδευόντων ὁδόν.
through them (the)-staff the same journeying road
Εἶπεν ὁ ἀββᾶς Εὐπρέπιος, ὅτι τὰ σωματικὰ ὕλη εἰσίν. Ὁ 3
said — abba Euprepius that the bodily(-things) matter are the(-one)
ἀγαπῶν τὸν κόσμον ἀγαπᾷ προσκόμματα. Εἴπερ οὖν συμβῇ
loving the world loves stumbling-blocks if-indeed then it-happen
τί ποτε ἀπολέσθαι, τοῦτο μετὰ χαρᾶς καὶ ἐξομολογήσεως
anything ever to-be-lost this with joy and thanksgiving
δέχεσθαι δεῖ, ὡς φροντίδων ἀπαλλαγέντας.
to-receive (one)-must as from-cares having-been-freed
Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Εὐπρέπιον περὶ ζωῆς. Καὶ 4
(a)-brother asked — abba Euprepius about life and
εἶπεν ὁ γέρων· Χόρτον φάγε, χόρτον φόρεσον, εἰς χόρτον
said the old-man grass eat grass wear on grass
κοιμοῦ, τουτέστι, πάντων καταφρόνει, τὴν δὲ καρδίαν
sleep that-is all(-things) despise the but heart
κέκτησο σιδηρᾶν.
possess of-iron
Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα, λέγων· Πῶς ἔρχεται 5
(a)-brother asked the same old-man saying how comes
ὁ φόβος τοῦ Θεοῦ εἰς τὴν ψυχήν; Καὶ εἶπεν ὁ γέρων·
the fear — of-God into the soul and said the old-man
Ἐὰν ἔχῃ ἄνθρωπος τὴν ταπείνωσιν, καὶ τὴν ἀκτημοσύνην,
if have (a)-man the humility and the poverty
καὶ τὸ μὴ κρίνειν, ἔρχεται αὐτῷ ὁ φόβος τοῦ Θεοῦ.
and the not to-judge comes to-him the fear — of-God
Ὁ αὐτὸς εἶπε· Φόβος καὶ ταπείνωσις, καὶ ἔνδεια τροφῶν, 6
the same said fear and humility and want of-food
καὶ πένθος διαμενέτω σοι.
and mourning let-remain with-you

7 Παρέβαλεν ἐν ἀρχῇ αὐτοῦ ὁ ἀββᾶς Εὐπρέπιός τινι
visited at (the)-beginning his — abba Euprepius a-certain
γέροντι, καὶ λέγει αὐτῷ· Ἀββᾶ, εἰπέ μοι λόγον πῶς
old-man and says to-him abba tell me (a)-word how
σωθῶ. Ὁ δὲ εἶπεν αὐτῷ· Ἐὰν θέλῃς σωθῆναι, ὅταν
I-may-be-saved he and said to-him if you-wish to-be-saved when
παραβάλῃς τινὶ, μὴ προλάβῃς λαλῆσαι πρὶν ἐξετάσει σε.
you-visit anyone not be-first to-speak before he-question you
Ὁ δὲ ἐπὶ τῷ λόγῳ κατανυγεὶς ἔβαλε μετάνοιαν, λέγων·
he and at the word pierced-to-the-heart made penitence saying
Ὄντως πολλὰ βιβλία ἀνέγνων, καὶ τοιαύτην παιδείαν
truly many books I-read and such instruction
οὐδέπω ἔγνων. Καὶ πολλὰ ὠφεληθεὶς ἐξῆλθεν.
never-yet I-knew and much having-been-benefited he-went-out

XXX · HELLADIUS

Helladius spends twenty years in the Cells without raising his eyes to the church roof, and at Easter takes his bread and salt standing.

1 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἑλαδίου, ὅτι ἐποίησεν εἴκοσι ἔτη
they-said about — abba Helladius that he-spent twenty years
εἰς τὰ Κελλία, καὶ οὐκ ἦρέ ποτε τοὺς ὀφθαλμοὺς ἄνω,
in the Cells and not raised ever the eyes upward
ἰδεῖν τὴν στέγην τῆς ἐκκλησίας.
to-see the roof of-the church
2 Ἔλεγον περὶ τοῦ αὐτοῦ ἀββᾶ Ἑλαδίου, ὅτι ἄρτον καὶ
they-said about the same abba Helladius that bread and
ἅλας ἤσθιεν. Ὅτε οὖν ἦλθε τὸ Πάσχα, ἔλεγεν, ὅτι Οἱ
salt he-ate when then came the Pascha he-said that the

ἀδελφοὶ ἄρτον καὶ ἅλας ἐσθίουσιν· ἐγὼ δὲ ὤφειλον μικρὸν
brothers bread and salt eat I but ought (a)-little
κόπον ποιῆσαι διὰ τὸ Πάσχα. Ἐπειδὴ τὰς ἄλλας
toil to-make because-of the Pascha since the other
ἡμέρας καθήμενος ἐσθίω· νῦν ὅτι Πάσχα ἐστὶ, ποιήσω
days sitting I-eat now because Pascha it-is I-will-make
τὸν κόπον, ἱστάμενος ἐσθίων.
the toil standing eating

XXXI · EVAGRIUS

Evagrius bids the monk in his cell set before himself death, the silence of Hades, the judgment, and the joys of the righteous, so as to escape his filthy thoughts. His sayings prize undistracted psalmody and a dry diet joined to love; rebuked in council as a stranger who would be a bishop at home, he says he will not speak a second time.

Εἶπεν ὁ ἀββᾶς Εὐάγριος· Καθεζόμενος ἐν τῷ κελλίῳ, 1
said — abba Evagrius sitting in the cell
συνάγαγέ σου τὸν λογισμόν· μνήσθητι ἡμέρας θανάτου· ἴδε
gather your the thought remember (the)-day of-death see
τότε τοῦ σώματος τὴν νέκρωσιν· ἐννόει τὴν συμφοράν·
then of-the body the deadness consider the calamity
λαβέ τὸν πόνον· κατάγνωθι τῆς ἐν τῷ κόσμῳ ματαιότητος·
take the pain condemn the in the world vanity
ὅπως δυνηθῇς διαπαντὸς μένειν ἐν τῇ προθέσει τῆς
so-that you-may-be-able continually to-remain in the purpose of-the
ἡσυχίας, καὶ μὴ ἀσθενήσῃς. Μνήσθητι δὲ καὶ τῆς ἐν τῷ
stillness and not grow-weak remember and also the in —
ᾅδῃ νῦν καταστάσεως· λογίζου τὸ πῶς εἰσιν ἐκεῖ αἱ
Hades now state reckon the(-question) how are there the
ψυχαὶ, ἐν ποίᾳ δεινοτάτῃ σιωπῇ, ἐν ποίῳ πικροτάτῳ
souls in what-kind-of most-terrible silence in what-kind-of most-bitter

στεναγμῷ, καὶ πηλίκῳ φόβῳ καὶ ἀγῶνι καὶ προσδοκίᾳ·
groaning and how-great fear and agony and expectation
τὴν ἄπαυστον ὀδύνην, τὸ ψυχικὸν καὶ ἀπέραντον δάκρυον.
the unceasing pain the of-the-soul and endless weeping
Ἀλλὰ καὶ ἡμέρας ἀναστάσεως μνήσθητι, καὶ παραστάσεως
but also (the)-day of-resurrection remember and of-standing
τῆς πρὸς τὸν Θεόν· φαντάζου τὸ φρικῶδες καὶ φοβερὸν
the before — God imagine the dreadful and fearful
ἐκεῖνο κρῖμα. Ἄγε εἰς μέσον τὰ ἀποκείμενα τοῖς
that judgment bring into (the)-middle the(-things) laid-up for-those
ἁμαρτάνουσιν, αἰσχύνην τὴν κατ' ἐνώπιον τοῦ Θεοῦ καὶ
sinning (the)-shame the in (the)-presence — of-God and
ἀγγέλων καὶ ἀρχαγγέλων καὶ πάντων ἀνθρώπων, τουτέστι
of-angels and of-archangels and of-all men that-is
κολαστήρια, πῦρ αἰώνιον, σκώληκα τὸν ἀκοίμητον, τὸν
punishments fire eternal (the)-worm the sleepless the
τάρταρον, τὸ σκότος, τὸν τῶν ὀδόντων βρυγμὸν, τοὺς
tartarus the darkness the of-the teeth gnashing the
φόβους καὶ τὰς βασάνους. Ἄγε δὴ καὶ τὰ τοῖς δικαίοις
fears and the torments bring indeed also the for-the righteous
ἀποκείμενα ἀγαθὰ, παῤῥησίαν τὴν μετὰ Θεοῦ Πατρὸς
laid-up good(-things) boldness the with God (the)-Father
καὶ Χριστοῦ αὐτοῦ, ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ παντὸς
and Christ his of-angels and archangels and of-all
δήμου τῶν ἁγίων, βασιλείαν οὐρανῶν, καὶ τὰ ταύτης
(the)-people of-the saints (the)-kingdom of-heavens and the its
δωρήματα τὴν χαρὰν καὶ τὴν ταύτης ἀπόλαυσιν. Ἑκατέρων
gifts the joy and the its enjoyment of-both
τούτων τὴν μνήμην ἄγε σεαυτῷ· καὶ ἐπὶ μὲν τῇ τῶν
these the memory bring to-yourself and at indeed the of-the
ἁμαρτωλῶν κρίσει δάκρυσον, πένθησον, φοβούμενος μὴ καὶ
sinners judgment weep mourn fearing lest also

σὺ αὐτὸς ἐν τούτοις γένῃ· ἐπὶ δὲ τοῖς ἀποκειμένοις τοῖς
you yourself in these(-things) be at but the(-things) laid-up for-the
δικαίοις, χαῖρε καὶ εὐφραίνου. Καὶ τούτων μὲν σπούδασον
righteous rejoice and be-glad and of-these indeed be-eager
ἐν ἀπολαύσει γενέσθαι, καὶ ἀλλοτριοῦσθαι ἐκείνων. Ὅρα
in enjoyment to-be and to-be-estranged from-those see
μὴ ἐπιλάθῃ ποτὲ, κἂν ἔνδον τοῦ κελλίου σου τυγχάνῃς,
not you-forget ever whether inside the cell your you-happen-to-be
κἂν ἔξω που, τῆς ἐκ τούτων μνήμης, ὅπως κἂν διὰ
or outside somewhere the from these memory so-that at-least through
τούτων, τοὺς ῥυπαροὺς καὶ βλαβεροὺς διαφεύξῃ λογισμούς.
these the filthy and harmful you-may-escape thoughts
Εἶπε πάλιν· Κόπτε τῶν πολλῶν τὰς σχέσεις· μή σου ὁ 2
he-said again cut-off of-the many the attachments lest your the
νοῦς περιστατικὸς γένηται, καὶ τὸν τῆς ἡσυχίας ταράξῃ
mind distracted become and the of-the stillness disturb
τρόπον.
manner
Εἶπε πάλιν μέγα μὲν τὸ ἀπερισπάστως προσεύχεσθαι· 3
he-said again great indeed the undistractedly to-pray
μεῖζον δὲ καὶ τὸ ψάλλειν ἀπερισπάστως.
greater but even the to-chant undistractedly
Εἶπε πάλιν· Μέμνησο διαπαντὸς τῆς ἐξόδου σου, καὶ μὴ 4
he-said again remember continually the departure your and not
ἐπιλάθῃ κρίσεως αἰωνίου· καὶ οὐκ ἔσται πλημμέλεια ἐν
forget (the)-judgment eternal and not will-be (a)-fault in
τῇ ψυχῇ σου.
the soul your
Εἶπε πάλιν· Ἔπαρον τοὺς πειρασμοὺς, καὶ οὐδεὶς ὁ 5
he-said again take-away the temptations and no-one the(-one)
σωζόμενος
being-saved

6 Εἶπε πάλιν, ὅτι Ἔλεγέ τις τῶν Πατέρων· Ἡ ξηροτέρα
he-said again that said one of-the Fathers the drier
καὶ ἀνώμαλος δίαιτα, ἀγάπῃ συζευχθεῖσα, θᾶττον εἰσάγει
and irregular diet with-love having-been-yoked more-quickly brings-in
τὸν μοναχὸν εἰς τὸν τῆς ἀπαθείας λιμένα.
the monk into the of-the passionlessness harbor

7 Ἐγένετό ποτε συνέδριον εἰς τὰ Κελλία περὶ πράγματος, καὶ
there-was once (a)-council in the Cells about (a)-matter and
ἐλάλησεν ὁ ἀββᾶς Εὐάγριος. Λέγει αὐτῷ ὁ πρεσβύτερος·
spoke — abba Evagrius says to-him the priest
Οἴδαμεν, ἀββᾶ, ὅτι εἰ ἦς ἐν τῇ χώρᾳ σου, καὶ ἐπίσκοπος
we-know abba that if you-were in the country your also bishop
πολλάκις καὶ κεφαλὴ πολλῶν εἶχες εἶναι· νῦν δὲ ὡς
often and head of-many you-would to-be now but as
ξένος καθέζῃ ὧδε. Ὁ δὲ κατανυγεὶς οὐκ ἐταράχθη, ἀλλὰ
(a)-stranger you-sit here he but pierced-to-the-heart not was-troubled but
κινήσας τὴν κεφαλὴν, λέγει αὐτῷ· Ἀληθῶς ἐστι, Πάτερ
having-moved the head says to-him truly it-is Father
Πλὴν ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.
yet once I-spoke to but the second not I-will-add

XXXII · EUDAEMON

Paphnutius sends the young Eudaemon out of Scetis, since he lets no face like a woman's stay there.

1 Εἶπεν ὁ ἀββᾶς Εὐδαίμων περὶ τοῦ ἀββᾶ Παφνουτίου τοῦ
said — abba Eudaemon about — abba Paphnutius the
Πατρὸς τῆς Σκήτεως, ὅτι Κατῆλθον ἐκεῖ νεώτερος, καὶ οὐκ
Father — of-Scetis that I-went-down there (a)-youth and not

ἀφῆκέ με μεῖναι ἐκεῖ, λέγων ἐπὶ ἐμοῦ, Ὄψιν γυναικὸς οὐκ
he-let me to-stay there saying in my-case (the)-face of-(a)-woman not
ἀφιῶ μεῖναι εἰς Σκῆτιν, διὰ τὸν πόλεμον τοῦ ἐχθροῦ.
I-let to-stay in Scetis because-of the war of-the enemy

XXXIII · ZENO

Zeno, disciple of Silvanus, warns against famous places and great names. He learns to take what is brought and give what is asked, contrasts Egyptians who hide their virtues with Syrians and Greeks who hide their faults, and is fed and led home by a boy when lost three days. He stands five days in the sun to test whether he could bear a thief's punishment, and so does not take a cucumber, and sends a famous Faster home to fast in secret.

Εἶπεν ὁ ἀββᾶς Ζήνων ὁ μαθητὴς τοῦ μακαρίου 1
said — abba Zeno the disciple of-the blessed
Σιλουανοῦ· Μὴ οἰκήσῃς ἐν τόπῳ ὀνομαστῷ, μηδὲ καθίσῃς
Silvanus not dwell in (a)-place renowned nor sit
μετὰ ἀνθρώπου ἔχοντος μέγα ὄνομα, μηδὲ βάλῃς
with (a)-man having (a)-great name nor lay
θεμέλιον τοῦ οἰκοδομῆσαι ἑαυτῷ κελλίον πώποτε.
(a)-foundation for-the to-build for-yourself (a)-cell ever
Ἔλεγον περὶ τοῦ ἀββᾶ Ζήνωνος, ὅτι ἀπ᾽ ἀρχῆς οὐκ 2
they-said about — abba Zeno that from (the)-beginning not
ἤθελε λαβεῖν παρά τινός τί ποτε. Καὶ ἐντεῦθεν οἱ
he-wished to-take from anyone anything ever and hence the(-ones)
φέροντες ἀπήρχοντο λυπούμενοι, ὅτι οὐκ ἐλάμβανε. Καὶ
bringing went-away grieving because not he-took and
ἄλλοι ἤρχοντο πρὸς αὐτὸν, λαβεῖν θέλοντες ὡς παρὰ
others came to him to-take wishing as from
μεγάλου γέροντος, καὶ οὐκ εἶχέ τι δοῦναι αὐτοῖς, καὶ
(a)-great old-man and not he-had anything to-give them and

αὐτοὶ ὑπῆγον λυπούμενοι. Λέγει ὁ γέρων· Τί ποιήσω,
they went grieving says the old-man what shall-I-do
ὅτι καὶ οἱ φέροντες λυποῦνται, καὶ οἱ λαβεῖν
for both the(-ones) bringing are-grieved and the(-ones) to-take
θέλοντες; Τοῦτο μᾶλλον συμφέρει· εἴ τις φέρει, λαμβάνω,
wishing this rather profits if anyone brings I-take
καὶ εἴ τις αἰτεῖ παρέχω αὐτῷ. Καὶ οὕτως ποιήσας
and if anyone asks I-provide to-him and thus having-done
ἀνεπαύετο, καὶ πάντας ἐπληροφόρει.
he-was-at-rest and all he-satisfied

3 Παρέβαλεν ἀδελφὸς Αἰγύπτιος τῷ ἀββᾷ Ζήνωνι εἰς
visited (a)-brother Egyptian — to-abba Zeno in
Συρίαν, καὶ κατηγόρει τῶν λογισμῶν ἑαυτοῦ ἐπὶ τοῦ
Syria and accused the thoughts his-own before the
γέροντος. Ὁ δὲ θαυμάσας εἶπεν· Οἱ Αἰγύπτιοι, ἃς
old-man he and having-marveled said the Egyptians which
μὲν ἔχουσιν ἀρετὰς, κρύπτουσιν, ἃ δὲ οὐκ ἔχουσιν
indeed they-have virtues they-hide which but not they-have
ἐλαττώματα, τούτων ἀεὶ κατηγοροῦσιν· οἱ δὲ Σύροι καὶ
faults these always they-accuse the but Syrians and
οἱ Ἕλληνικοὶ, ἃς μὲν οὐκ ἔχουσιν ἀρετὰς, λέγουσιν
the Greeks which indeed not they-have virtues they-say
ἔχειν, ἃ δὲ ἔχουσιν ἐλαττώματα, κρύπτουσιν.
to-have which but they-have faults they-hide

4 Ἦλθον πρὸς αὐτὸν ἀδελφοὶ, καὶ ἠρώτησαν αὐτὸν,
came to him brothers and asked him
λέγοντες· Τί ἐστι τὸ ἐν τῷ Ἰὼβ γεγραμμένον·
saying what is the(-word) in — Job written
Οὐρανὸς δὲ οὐ καθαρὸς ἐνώπιον αὐτοῦ; Ἀποκριθεὶς δὲ
heaven but not clean before him answering and
ὁ γέρων εἶπεν αὐτοῖς· Ἀφῆκαν οἱ ἀδελφοὶ τὰς ἁμαρτίας
the old-man said to-them have-left the brothers the sins

αὐτῶν, καὶ περὶ τῶν οὐρανῶν ἐρευνῶσιν. Αὕτη δέ ἐστιν
their and about the heavens they-search this but is
ἡ ἑρμηνεία τοῦ λόγου· Ἐπειδὴ αὐτὸς μόνος ἐστὶ καθαρὸς,
the interpretation of-the word since he alone is clean
διὰ τοῦτο εἶπεν· Οὐρανὸς δὲ οὐ καθαρός ἐστιν.
because-of this he-said heaven but not clean is
Ἔλεγον περὶ τοῦ ἀββᾶ Ζήνωνος, ὅτι καθήμενος ἐν τῇ 5
they-said about — abba Zeno that sitting in —
Σκήτει, ἐξῆλθε νυκτὸς ἐκ τῆς κέλλης αὐτοῦ ὡς ἐπὶ
Scetis he-went-out by-night from the cell his as-if to
τὸ ἕλος· καὶ πλανηθεὶς ἐποίησε τρεῖς ἡμέρας καὶ τρεῖς
the marsh and having-strayed he-spent three days and three
νύκτας περιπατῶν· καὶ κοπιάσας, ἐκλιπὼν ἔπεσεν εἰς τὸ
nights walking and having-tired having-failed he-fell into the
ἀποθανεῖν. Καὶ ἰδοὺ παιδάριον ἔστη ἐνώπιον αὐτοῦ, ἔχον
to-die and behold (a)-boy stood before him having
ἄρτον καὶ βαυκάλιον ὕδατος· καὶ ἔλεγεν αὐτῷ· Ἀνάστα,
bread and (a)-flask of-water and said to-him rise
φάγε. Ὁ δὲ ἀναστὰς, προσηύξατο, νομίζων ὅτι φαντασία
eat he and having-risen prayed thinking that (an)-apparition
ἐστίν. Ὁ δὲ εἶπεν αὐτῷ· Καλῶς ἐποίησας. Καὶ πάλιν
it-is he and said to-him well you-did and again
ηὔξατο δεύτερον καὶ τρίτον. Καὶ λέγει αὐτῷ· Καλῶς
he-prayed (a)-second and third and he-says to-him well
ἐποίησας. Ἀναστὰς οὖν ὁ γέρων, ἔλαβε καὶ ἔφαγε. Καὶ
you-did having-risen then the old-man took and ate and
μετὰ ταῦτα λέγει αὐτῷ· Ὅσον περιεπάτησας, τοσοῦτον
after these(-things) he-says to-him as-much-as you-walked so-much
εἶ μακρὰν ἀπὸ τῆς κέλλης σου· ἀλλ' ἀνάστα, ἀκολούθει
you-are far from the cell your but rise follow
μοι. Καὶ εὐθέως εὑρέθη εἰς τὸ κελλίον αὐτοῦ. Εἶπεν
me and at-once he-was-found at the cell his said

οὖν αὐτῷ ὁ γέρων· Εἴσελθε, ποίησον ἡμῖν εὐχήν. Καὶ
then to-him the old-man come-in make for-us (a)-prayer and
εἰσελθόντος τοῦ γέροντος, ἐκεῖνος ἀφανὴς ἐγένετο.
having-come-in the old-man that(-one) unseen became

6 Ἄλλοτε ὁ αὐτὸς ἀββᾶς Ζήνων περιπατῶν ἐν τῇ
another-time the same abba Zeno walking in —
Παλαιστίνῃ, καὶ κοπιάσας, ἐγγὺς σικυηλάτου ἐκάθισε
Palestine and having-tired near (a)-cucumber-bed sat
φαγεῖν, καὶ λέγει αὐτῷ ὁ λογισμός· Ἆρον ἑαυτῷ ἓν
to-eat and says to-him the thought take for-yourself one
σικύδιν, καὶ φάγε. Τί γάρ ἐστιν; Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ
little-cucumber and eat what for is-it he and answering said to-the
λογισμῷ· Οἱ κλέπται εἰς κόλασιν ὑπάγουσι. Δοκίμασον οὖν
thought the thieves to punishment go test then
ἑαυτὸν ἐντεῦθεν, εἰ δύνασαι τὴν κόλασιν ὑπενεγκεῖν. Καὶ
yourself from-this whether you-can the punishment bear and
ἀναστὰς ἔστη εἰς τὸ καῦμα πέντε ἡμέρας, καὶ τηγανίσας
having-risen he-stood in the heat five days and having-fried
ἑαυτὸν, εἶπεν· Οὐ δύνασαι τὴν κόλασιν ὑπενεγκεῖν. Καὶ
himself he-said not you-can the punishment bear and
λέγει τῷ λογισμῷ· Εἰ οὐ δύνασαι, μὴ κλέπτε καὶ τρῶγε.
he-says to-the thought if not you-can not steal and eat

7 Εἶπεν ὁ ἀββᾶς Ζήνων· Ὁ θέλων ταχὺ ἵνα εἰσακούσῃ
said — abba Zeno the(-one) wishing quickly that should-hear
ὁ Θεὸς τῆς εὐχῆς αὐτοῦ, ἡνίκα ἀναστῇ καὶ ἐκτείνει τὰς
— God the prayer his when he-rises and stretches-out the
χεῖρας αὐτοῦ πρὸς Θεὸν, πρὸ πάντων καὶ πρὸ τῆς ἰδίας
hands his to God before all(-things) and before the own
ψυχῆς ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ ἀπὸ ψυχῆς εὔξηται· καὶ
soul for the enemies his from (the)-soul let-him-pray and

διὰ τούτου κατορθώματος, εἴ τι ἂν παρακαλέσῃ τῷ
through this achievement if anything — he-ask —
Θεῷ, ὑπακούει αὐτῷ.
God he-hears him
Ἔλεγον ὅτι ἦν τις ἐν κώμῃ, καὶ πολλὰ ἐνήστευεν, 8
they-said that there-was someone in (a)-village and much fasted
ὥστε καλεῖσθαι τὸ ὄνομα αὐτοῦ ὁ Νηστευτής. Ἀκούσας
so-that to-be-called the name his the Faster having-heard
δὲ ὁ ἀββᾶς Ζήνων περὶ αὐτοῦ, μετεστείλατο αὐτόν. Ὁ δὲ
and — abba Zeno about him sent-for him he and
ἀπῆλθε μετὰ χαρᾶς. Καὶ εὐξάμενοι ἐκάθισαν. Ἤρξατο οὖν
went-away with joy and having-prayed they-sat began then
ὁ γέρων ἐργάζεσθαι σιωπῶν. Μὴ εὑρίσκων δὲ λαλῆσαι μετ᾽
the old-man to-work being-silent not finding and to-speak with
αὐτοῦ ὁ Νηστευτὴς ἤρξατο ὀχλεῖσθαι ὑπὸ τῆς ἀκηδίας. Καὶ
him the Faster began to-be-troubled by the listlessness and
λέγει τῷ γέροντι· Εὖξαι ὑπὲρ ἐμοῦ, ἀββᾶ, ὅτι ἀπελθεῖν
he-says to-the old-man pray for me abba because to-go-away
θέλω. Λέγει αὐτῷ ὁ γέρων· Διατί; Ὁ δὲ ἀποκριθεὶς εἶπεν·
I-wish says to-him the old-man why he and answering said
Ὅτι ἡ καρδία μου ὡς καιομένη ἐστὶ, καὶ οὐκ οἶδα τί
because the heart my as-if burning is and not I-know what
ἔχει. Ὅτε γὰρ ἤμην εἰς τὴν κώμην, ἕως ὀψὲ ἐνήστευον, καὶ
it-has when for I-was in the village until late I-fasted and
οὐδέποτε οὕτως μοι ἐγένετο. Λέγει αὐτῷ ὁ γέρων· Εἰς τὴν
never thus to-me it-happened says to-him the old-man in the
κώμην, ἐκ τῶν ὠτίων σου ἐτρέφου· ἀλλ᾽ ἄπελθε ἀπὸ τοῦ
village from the ears your you-were-fed but go-away from the
νῦν, καὶ ἔσθιε τὴν ἐννάτην· καὶ εἴ τι ποιεῖς, ἐν κρυπτῷ
now and eat at-the ninth(-hour) and if anything you-do in secret
ποίει. Καὶ ὡς ἤρξατο ποιεῖν, μετὰ θλίψεως ἔμενε τὴν
do and when he-began to-do with affliction he-waited-for the

ἐννάτην. Καὶ ἔλεγον οἱ γνωρίζοντες αὐτὸν, ὅτι Ὁ
ninth(-hour) and said the(-ones) knowing him that the
Νηστευτὴς ἐδαιμονίσθη. Ἐλθὼν δὲ ἀπήγγειλε τῷ γέροντι
Faster has-been-possessed having-come and he-reported to-the old-man
πάντα. Ὁ δὲ εἶπεν αὐτῷ· Αὕτη ἡ ὁδὸς κατὰ Θεόν ἐστιν.
all(-things) he and said to-him this the way according-to God is

XXXIV · ZACHARIAS

Zacharias tells Macarius that a monk is one who forces himself in everything, and Moses sees the Spirit on him at the cistern; trampling his hood, he says a man must be crushed to be a monk. Beaten by his abba Carion for a vision, he is sent by Poemen to an old man who confirms it; dying, he holds that silence is better, and Isidore sees the gates of the kingdom opened to him.

1 Εἶπεν ὁ ἀββᾶς Μακάριος τῷ ἀββᾷ Ζαχαρίᾳ· Εἰπέ μοι τὸ
said — abba Macarius — to-abba Zacharias tell me the
ἔργον τοῦ μοναχοῦ. Λέγει αὐτῷ· Ἐμὲ ἐρωτᾷς, Πάτερ; Καὶ
work of-the monk he-says to-him me do-you-ask Father and
λέγει ὁ ἀββᾶς Μακάριος· Πληροφοροῦμαι εἰς σὲ, τέκνον
says — abba Macarius I-am-assured about you child
Ζαχαρία. Ἔστι γὰρ ὁ νύσσων με τοῦ ἐρωτῆσαί σε.
Zacharias there-is for the(-one) prodding me for-the to-ask you
Λέγει αὐτῷ ὁ Ζαχαρίας· Τὸ κατ᾽ ἐμὲ, Πάτερ, τὸ
says to-him — Zacharias the(-thing) for me Father the
ἑαυτὸν βιάζεσθαι εἰς πάντα, οὗτός ἐστιν ὁ μοναχός.
himself to-force in all(-things) this is the monk

Ἦλθέ ποτε ὁ ἀββᾶς Μωσῆς ἀντλῆσαι ὕδωρ, καὶ εὗρε 2
came once — abba Moses to-draw water and found
τὸν ἀββᾶν Ζαχαρίαν εὐχόμενον ἐπὶ τοῦ λάκκου, καὶ τὸ
— abba Zacharias praying at the cistern and the
Πνεῦμα τοῦ Θεοῦ καθήμενον ἐπάνω αὐτοῦ.
Spirit — of-God sitting above him
Εἶπέ ποτε ὁ ἀββᾶς Μωσῆς τῷ ἀδελφῷ Ζαχαρίᾳ· Εἰπέ 3
said once — abba Moses to-the brother Zacharias tell
μοι τί ποιήσω; Ἀκούσας δὲ ἔῤῥιψεν ἑαυτὸν χαμαὶ εἰς
me what I-shall-do having-heard and he-threw himself on-the-ground at
τοὺς πόδας αὐτοῦ, λέγων· Σύ με ἐρωτᾷς, Πάτερ; Λέγει
the feet his saying you me ask Father says
αὐτῷ γέρων· Πίστευσόν μοι, τέκνον μου Ζαχαρία· εἶδον
to-him (the)-old-man believe me child my Zacharias I-saw
τὸ Πνεῦμα τὸ ἅγιον κατελθὸν ἐπὶ σὲ, καὶ ἐκ τούτου
the Spirit the holy having-come-down upon you and from this
ἀναγκάζομαι ἐρωτῆσαί σε. Τότε λαβὼν ὁ Ζαχαρίας
I-am-compelled to-ask you then having-taken — Zacharias
τὸ κουκούλιον αὐτοῦ ἐκ τῆς κεφαλῆς αὐτοῦ, ἔθηκεν
the hood his from the head his he-put-it
ὑπὸ τοὺς πόδας, καὶ καταπατήσας αὐτὸ εἶπεν· Ἐὰν μὴ
under the feet and having-trampled it he-said unless —
συντριβῇ οὕτως ἄνθρωπος, οὐ δύναται εἶναι μοναχός.
be-crushed thus (a)-man not he-can be (a)-monk
Καθημένου ποτὲ τοῦ ἀββᾶ Ζαχαρίου εἰς Σκῆτιν, ἦλθε θεωρία 4
sitting once — abba Zacharias in Scetis came (a)-vision
εἰς αὐτόν· καὶ ἀναστὰς ἀνήγγειλε τῷ ἀββᾷ αὐτοῦ Καρίωνι. Ὁ
to him and having-risen he-reported — to-abba his Carion the
δὲ γέρων, πρακτικὸς ὢν, οὐχ ὑπῆρχεν ἀκριβὴς περὶ ταῦτα.
and old-man (a)-practitioner being not was exact about these(-things)
Καὶ ἀναστὰς ἔδειρεν αὐτὸν, λέγων, ὅτι ἀπὸ δαιμόνων ἐστί.
and having-risen he-beat him saying that from demons it-is

Παρέμεινε δὲ ὁ λογισμός. Καὶ ἀναστὰς ἀπῆλθε πρὸς τὸν
remained but the thought and having-risen he-went-away to —
ἀββᾶν Ποιμένα, νυκτὸς, καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα,
abba Poemen by-night and reported to-him the matter
καὶ πῶς καίεται τὰ ἐντὸς αὐτοῦ. Καὶ ἰδὼν ὁ γέρων
and how burn the(-things) within him and having-seen the old-man
ὅτι ἀπὸ Θεοῦ ἐστι, λέγει αὐτῷ· Ὕπαγε πρὸς τὸν δεῖνα
that from God it-is he-says to-him go to the so-and-so
τὸν γέροντα, καὶ εἴ τι δ' ἄν σοι εἴπῃ, ποίησον. Καὶ
the old-man and if anything and — to-you he-say do-it and
ἀπελθὼν πρὸς τὸν γέροντα, πρὶν ἐξετάσαι αὐτόν τι,
having-gone-away to the old-man before to-question him anything
προλαβὼν ὁ γέρων εἶπεν αὐτῷ πάντα, καὶ ὅτι ἡ θεωρία
anticipating the old-man told him all(-things) and that the vision
ἀπὸ Θεοῦ ἐστιν. Ἀλλ' ὕπαγε, ὑποτάγηθι τῷ Πατρί σου.
from God is but go submit to-the Father your
Εἶπεν ὁ ἀββᾶς Ποιμὴν, ὅτι ἠρώτησεν ὁ ἀββᾶς Μωϋσῆς
said — abba Poemen that asked — abba Moses
τὸν ἀββᾶν Ζαχαρίαν μέλλοντα τελευτᾷν· Τί ὁρᾷς;
— abba Zacharias being-about to-die what do-you-see
καὶ λέγει αὐτῷ· Οὐ βέλτιον τὸ σιωπᾷν, Πάτερ; καὶ
and he-says to-him not better the to-be-silent Father and
εἶπε· Ναὶ, τέκνον, σιώπα. Καὶ τῇ ὥρᾳ τοῦ θανάτου
he-said yes child be-silent and at-the hour of-the death
αὐτοῦ, καθεζόμενος ὁ ἀββᾶς Ἰσίδωρος, ἀναβλέψας εἰς
his sitting — abba Isidore having-looked-up to
τὸν οὐρανὸν εἶπεν· Εὐφραίνου, τέκνον μου Ζαχαρία, ὅτι
the heaven said rejoice child my Zacharias for
ἀνεῴχθησάν σοι αἱ πύλαι τῆς τῶν οὐρανῶν βασιλείας.
were-opened to-you the gates of-the of-the heavens kingdom

Isaiah says insult waters a beginner like a tree, and a beginner who moves from monastery to monastery is a beast led by the halter. He asks a landowner for grain he did not reap, to show that no one is paid who has not worked, and serves a brother lentils that have only seen the fire. He defines avarice, slander, and anger.

Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας, ὅτι οὐδὲν οὕτως λυσιτελεῖ τῷ 1
said — abba Isaiah that nothing so profits the
ἀρχαρίῳ, ὡς ἡ ὕβρις. Ὥσπερ γὰρ δένδρον καθ' ἑκάστην
beginner as the insult as for (a)-tree each day
ποτιζόμενον, οὕτως ἀρχάριος ὑβριζόμενος καὶ ὑπομένων.
being-watered thus (a)-beginner being-insulted and enduring
Ἔλεγε πάλιν πρὸς τοὺς καλῶς ἀρχομένους καὶ 2
he-said again to the(-ones) well beginning and
ὑποτασσομένους Πατράσιν ἁγίοις, ὅτι Ἡ πρώτη βαφὴ οὐκ
submitting to-Fathers holy that the first dye not
ἀποβάλλει, ὡς ἐπὶ πορφύρας. Καί· ὅτι Ὥσπερ οἱ κλάδοι
comes-off as with purple and that as the branches
οἱ ἁπαλοὶ εὐχερῶς μεταστρέφονται καὶ κάμπτονται, οὕτως
the tender easily are-turned and are-bent thus
καὶ οἱ ἀρχάριοι ὄντες ἐν ὑποταγῇ.
also the beginners being in submission
Ἔλεγε πάλιν, ὅτι ἀρχάριος μεταβαίνων ἀπὸ μοναστηρίου 3
he-said again that (a)-beginner moving from monastery
εἰς μοναστήριον, ἔοικε ζώῳ ὑπὸ φορβαίας ἐνταῦθα
to monastery is-like (an)-animal by (a)-halter here
κἀκεῖσε ἐλαυνομένῳ.
and-there being-driven

4 Εἶπε πάλιν, ὅτι ὁ πρεσβύτερος τοῦ Πηλουσίου, γενομένης
he-said again that the priest — of-Pelusium having-been-held
ἀγάπης, καὶ τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ ἐσθιόντων,
(an)-agape and the brothers in the church eating
καὶ συλλαλούντων ἀλλήλοις, ἐπιτιμήσας αὐτοῖς εἶπε·
and talking-with each-other having-rebuked them said
Σιωπᾶτε, ἀδελφοί· εἶδον ἐγὼ ἀδελφὸν ἐσθίοντα μεθ' ὑμῶν,
be-silent brothers saw I (a)-brother eating with you
καὶ πίνοντα ποτήρια ὅσα ὑμεῖς, καὶ ἡ εὐχὴ αὐτοῦ
and drinking cups as-many-as you and the prayer his
ἀναβαίνει ἐνώπιον τοῦ Θεοῦ ὡς πῦρ.
goes-up before — God like fire

5 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἡσαΐου, ὅτι ποτὲ ἔλαβε θαλλίον,
they-said about — abba Isaiah that once he-took (a)-palm-shoot
καὶ ἀπῆλθεν εἰς τὴν ἅλωνα, καὶ λέγει τῷ γεούχῳ· Δός
and went-away to the threshing-floor and says to-the landowner give
μοι σῖτον. Καὶ λέγει αὐτῷ· Καὶ σὺ ἐθέρισας, ἀββᾶ; Λέγει·
me grain and he-says to-him also you reaped abba he-says
Οὐχί. Καὶ λέγει αὐτῷ ὁ γεοῦχος· Πῶς οὖν θέλεις
no and says to-him the landowner how then do-you-wish
σῖτον λαβεῖν, μὴ θερίσας; Καὶ λέγει αὐτῷ ὁ γέρων·
grain to-take not having-reaped and says to-him the old-man
Οὐκοῦν ἐὰν μή τις θερίσῃ, οὐ λαμβάνει μισθόν; Λέγει ὁ
so-then unless — one reap not he-receives (a)-wage says the
γεοῦχος· Οὐχί. Καὶ οὕτως ἀνεχώρησεν ὁ γέρων. Οἱ δὲ
landowner no and thus withdrew the old-man the and
ἀδελφοὶ, ἰδόντες τί ἐποίησεν, ἔβαλον αὐτῷ μετάνοιαν,
brothers having-seen what he-did made to-him penitence
παρακαλοῦντες μαθεῖν τί τοῦτο ἐποίησε. Λέγει αὐτοῖς
beseeching to-learn why this he-did he-says to-them

ὁ γέρων· Ὑπόδειγμα αὐτὸ ἐποίησα, ὅτι ἐὰν μή τις
the old-man (an)-example it I-made that unless — one
ἐργάσηται, οὐ λαμβάνει μισθὸν παρὰ τοῦ Θεοῦ.
work not he-receives (a)-wage from — God
Ὁ αὐτὸς ἀββᾶς Ἠσαΐας ἐκάλεσέ τινα τῶν ἀδελφῶν, καὶ 6
the same abba Isaiah called one of-the brothers and
ἔνιψεν αὐτοῦ τοὺς πόδας, καὶ ἔβαλε δράκα φακοῦ εἰς
washed his the feet and put (a)-handful of-lentils into
χύτραν, καὶ ὡς ἔβρασε, κατήνεγκεν αὐτήν. Καὶ λέγει
(a)-pot and when it-boiled he-brought-down it and says
αὐτῷ ὁ ἀδελφός· Οὔπω ἑψήθη, ἀββᾶ. Καὶ λέγει αὐτῷ·
to-him the brother not-yet it-was-cooked abba and he-says to-him
Οὐκ ἀρκεῖ σοι ὅτι ὅλως εἶδες λαμπρόν; καὶ αὕτη
not suffices to-you that at-all you-saw (the)-bright(-flame) and this
μεγάλη παράκλησις.
(is)-great comfort
Ἔλεγε πάλιν, ὅτι Ἐὰν θέλῃ ὁ Θεὸς ψυχὴν ἐλεῆσαι, 7
he-said again that if wishes — God (a)-soul to-have-mercy-on
αὐτὴ δὲ ἀφηνιάζει καὶ οὐκ ἀνέχεται, ἀλλὰ τὸ θέλημα
it but rebels and not bears-it but the will
αὐτῆς ποιεῖ, συγχωρεῖ αὐτὴν παθεῖν ἅπερ οὐ θέλει, ἵνα
its does he-allows it to-suffer what not it-wishes so-that
οὕτως αὐτὸν ἐπιζητήσῃ.
thus him it-may-seek
Ἔλεγε πάλιν, ὅτι Ἡνίκα τις βούλεται κακὸν ἀντὶ κακοῦ 8
he-said again that when anyone wishes evil for evil
ἀποδοῦναι, δύναται καὶ διὰ νεύματος μόνου βλάψαι τὴν
to-repay he-can even by (a)-nod alone harm the
συνείδησιν τοῦ ἀδελφοῦ.
conscience of-the brother

9 Ὁ αὐτὸς ἀββᾶς Ἡσαΐας ἠρωτήθη, τί ἐστι φιλαργυρία,
the same abba Isaiah was-asked what is love-of-money
καὶ ἀπεκρίθη· Τὸ μὴ πιστεῦσαι τῷ Θεῷ, ὅτι ποιεῖταί σου
and he-answered the not to-believe — God that he-takes your
φροντίδα, καὶ τὸ ἀπελπίσαι τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ
care and the to-despair of-the promises — of-God
καὶ φιλοπλατύνεσθαι.
and to-love-enlargement

10 Ἠρωτήθη πάλιν, τί ἐστι καταλαλιά, καὶ ἀπεκρίθη· Τὸ
he-was-asked again what is slander and he-answered the
μὴ γνῶναι τὴν δόξαν τοῦ Θεοῦ, καὶ Φθόνος πρὸς τὸν
not to-know the glory — of-God and envy toward the
πλησίον.
neighbor

11 Ἠρωτήθη πάλιν, τί ἐστιν ὀργὴ, καὶ ἀπεκρίθη· Ἔρις, καὶ
he-was-asked again what is anger and he-answered strife and
ψεῦδος, καὶ ἀγνωσία.
lie and ignorance

XXXVI · ELIAS

Elias fears three things: the soul's going out, meeting God, and the sentence. He has seen a man in Scetis who could stop the sun, shames the demons' phantom of a gourd of wine, and tells how a monk dragged from a temple by demons is told by the Lord that he had been negligent. The Fathers loved poverty, meekness, and self-control; monks now love greed, gluttony, and insolence.

1 Εἶπεν ὁ ἀββᾶς Ἠλίας· Ἐγὼ τρία πράγματα φοβοῦμαι·
said — abba Elias I three things fear
ὅταν μέλλῃ ἡ ψυχή μου ἐξελθεῖν ἀπὸ τοῦ σώματος,
when is-about the soul my to-go-out from the body

καὶ ὅταν μέλλω τῷ Θεῷ ἀπαντῆσαι, καὶ ὅταν μέλλῃ
and when I-am-about — God to-meet and when is-about
ἡ ἀπόφασις ἐξελθεῖν κατ᾽ ἐμοῦ
the sentence to-go-out against me
Ἔλεγον οἱ γέροντες τῷ ἀββᾷ Ἠλίᾳ εἰς Αἴγυπτον περὶ 2
said the old-men — to-abba Elias in Egypt about
τοῦ ἀββᾶ Ἀγάθωνος, ὅτι Καλὸς ἀββᾶς ἐστιν. Καὶ λέγει
— abba Agathon that good abba he-is and says
αὐτοῖς ὁ γέρων· Κατὰ τὴν γενεὰν αὐτοῦ καλός ἐστι.
to-them the old-man according-to the generation his good he-is
Καὶ λέγουσιν αὐτῷ· Κατὰ δὲ τοὺς ἀρχαίους τί; Καὶ
and they-say to-him according-to but the ancients what and
ἀποκριθεὶς λέγει· Εἶπον ὑμῖν, ὅτι κατὰ τὴν γενεὰν
answering he-says I-told you that according-to the generation
αὐτοῦ καλός ἐστι· κατὰ δὲ τοὺς ἀρχαίους, ἑώρακα
his good he-is according-to but the ancients I-have-seen
ἄνθρωπον ἐν Σκήτει, ὅτι ἠδύνατο τὸν ἥλιον στῆσαι ἐν
(a)-man in Scetis that he-could the sun stop in
τῷ οὐρανῷ, καθάπερ Ἰησοῦς ὁ τοῦ Ναυΐ. Καὶ τοῦτο
the heaven as Joshua the(-son) — of-Nave and this
ἀκούσαντες, ἐθαμβήθησαν, καὶ ἐδόξασαν τὸν Θεόν
having-heard they-were-astounded and glorified — God
Εἶπεν ὁ ἀββᾶς Ἠλίας ὁ τῆς διακονίας· Τί ἰσχύει 3
said — abba Elias the of-the ministry what avails
ἁμαρτία, ὅπου ἐστὶ μετάνοια; καὶ τί ὠφελεῖ ἀγάπη, ἔνθα
sin where is repentance and what profits love where
ἐστὶν ὑπερηφανία;
is pride
Εἶπεν ὁ ἀββᾶς Ἠλίας, ὅτι Εἶδον ἐγώ τινα λαβόντα 4
said — abba Elias that saw I someone having-taken
κολοκύντιον οἴνου εἰς τὴν μάλην αὐτοῦ· καὶ ἵνα αἰσχύνω
(a)-gourd of-wine in the armpit his and so-that I-might-shame

τοὺς δαίμονας ὅτι φαντασία ἦν, εἶπον τῷ ἀδελφῷ·
the demons that (an)-apparition it-was I-said to-the brother
Ποίησον ἀγάπην, καὶ ἆρόν μου τοῦτο· καὶ ἄρας τὸ
do (an)-act-of-love and take-up for-me this and having-lifted the
πάλλιον αὐτοῦ, εὑρέθη μηδὲν ἔχων. Τοῦτο δὲ εἶπον,
cloak his he-was-found nothing having this and I-said
ὅτι κἂν τοῖς ὀφθαλμοῖς ἴδητέ τι, ἢ ἀκούσητε, μὴ
that even-if with-the eyes you-see anything or you-hear not
καταδέξησθε. Πόσῳ μᾶλλον τηρεῖτε τοὺς διαλογισμοὺς
accept-it how-much more guard the reasonings
καὶ τὰς ἐνθυμήσεις καὶ τὰς ἐννοίας, εἰδότες ὅτι αὐτοὶ
and the musings and the notions knowing that they
ἐμβάλλουσιν αὐτὰ, ἵνα μιάνωσι τὴν ψυχὴν λογίζεσθαι
cast-in them so-that they-may-defile the soul to-reckon
τὰ μὴ συμφέροντα, καὶ ἵνα ἀπασχολήσωσι τὸν νοῦν
the(-things) not profiting and so-that they-may-distract the mind
ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ τοῦ Θεοῦ.
from the sins its and — God

5 Εἶπε πάλιν· Οἱ ἄνθρωποι τὸν νοῦν ἔχουσιν, ἢ εἰς τὰς
he-said again the men the mind have either on the
ἁμαρτίας, ἢ πρὸς τὸν Ἰησοῦν, ἢ πρὸς τοὺς ἀνθρώπους.
sins or toward — Jesus or toward the men

6 Εἶπε πάλιν· Ἐὰν μὴ ὁ νοῦς ψάλλῃ μετὰ τοῦ σώματος,
he-said again unless — the mind chant with the body
εἰς μάτην ὁ κόπος. Ἐὰν γάρ τις ἀγαπᾷ τὴν θλῖψιν,
in vain the toil if for one love the affliction
ὕστερον γίνεται αὐτῷ εἰς χαρὰν καὶ ἀνάπαυσιν.
later it-becomes for-him into joy and rest

7 Εἶπε πάλιν, ὅτι Τὶς γέρων ἔμεινεν εἰς ἱερόν· καὶ ἦλθον οἱ
he-said again that a-certain old-man stayed in (a)-temple and came the
δαίμονες λέγοντες αὐτῷ· Ἄπελθε ἐκ τοῦ τόπου ἡμῶν. Καὶ ὁ
demons saying to-him go-away from the place our and the

γέρων ἔφη· Ὑμεῖς οὐκ ἔχετε τόπον. Καὶ ἤρξαντο σκορπίζειν
old-man said you not have (a)-place and they-began to-scatter
αὐτοῦ τὰ βαΐα καθ' ἅπαξ. Ὁ δὲ γέρων ἐπέμενεν αὐτὰ
his the palm-leaves at once the but old-man persisted them
συλλέγων. Ὕστερον ὁ δαίμων κρατήσας αὐτοῦ τὴν χεῖρα,
gathering later the demon having-seized his the hand
ἔσυρεν αὐτὸν ἔξω. Ὡς δὲ ἔφθασε τὴν θύραν ὁ γέρων, τῇ
dragged him outside when and reached the door the old-man with-the
ἄλλῃ χειρὶ κατέσχε τὴν θύραν, κράζων· Ἰησοῦ, βοήθει μοι.
other hand held-fast the door crying Jesus help me
Καὶ εὐθὺς ὁ δαίμων ἔφυγε. Καὶ ὁ γέρων ἤρξατο κλαίειν.
and at-once the demon fled and the old-man began to-weep
Ὁ δὲ Κύριος εἶπεν αὐτῷ· Τί κλαίεις; καὶ λέγει ὁ γέρων·
the and Lord said to-him why do-you-weep and says the old-man
Ὅτι τολμῶσι κρατῆσαι τὸν ἄνθρωπον, καὶ οὕτως ποιῆσαι.
because they-dare to-seize the man and thus to-do
Εἶπε δὲ αὐτῷ· Σὺ ἠμέλησας. Ὅτε γὰρ ἐζήτησάς με,
he-said and to-him you were-negligent when for you-sought me
εἶδες πῶς εὑρέθην σοι. Ταῦτα λέγω, ὅτι κόπου πολλοῦ
you-saw how I-was-found by-you these(-things) I-say that of-toil much
χρεία, καὶ εἰ μὴ κόπος γένηται, οὐ δύναταί τις ἔχειν
(is)-need and if not toil happen not can anyone have
τὸν Θεὸν αὐτοῦ. Αὐτὸς γὰρ δι' ἡμᾶς ἐσταυρώθη.
— God his he for for-the-sake-of us was-crucified
Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ἠλίᾳ τῷ ἡσυχαστῇ, εἰς τὸ 8
(a)-brother visited — to-abba Elias the hesychast in the
κοινόβιον τοῦ σπηλαίου τοῦ ἀββᾶ Ζάββα, καὶ λέγει αὐτῷ·
community of-the cave — of-abba Sabbas and says to-him
Ἀββᾶ, εἰπόν μοι ῥῆμα. Ὁ δὲ γέρων λέγει τῷ ἀδελφῷ,
abba tell me (a)-word he and old-man says to-the brother
ὅτι Ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, ἠγαπῶντο
that in the days of-the fathers our were-loved

αἱ τρεῖς ἀρεταὶ αὗται, ἡ ἀκτημοσύνη, καὶ ἡ πραότης,
the three virtues these the poverty and the meekness
καὶ ἡ ἐγκράτεια· νῦν δὲ κρατεῖ εἰς τοὺς μοναχοὺς
and the self-control now but rules among the monks
ἡ πλεονεξία, καὶ ἡ γαστριμαργία, καὶ ἡ θρασύτης. Εἴ
the greed and the gluttony and the insolence if
τι θέλεις κράτησον.
anything you-wish hold-fast

XXXVII · HERACLIUS

Heraclius strengthens a tempted brother with the story of a disciple who fasted and chanted unbidden, met an Ethiopian on his mat, and was then led step by step into the solitary life.

1 Ἀδελφὸς πολεμηθεὶς, ἀπήγγειλε τῷ ἀββᾷ Ἡρακλείῳ.
(a)-brother having-been-warred-on reported — to-abba Heraclius
Καὶ λέγει αὐτῷ ἐκεῖνος στηρίζων αὐτὸν, ὅτι Τὶς γέρων
and says to-him that(-one) strengthening him that a-certain old-man
ἔσχε μαθητὴν ὑπήκοον πάνυ ἐπὶ πολλὰ ἔτη. Μιᾷ
had (a)-disciple obedient very for many years on-one(-day)
οὖν πολεμηθεὶς ἔβαλε μετάνοιαν τῷ γέροντι, λέγων·
then having-been-warred-on he-made penitence to-the old-man saying
Ποίησόν με γενέσθαι μοναχόν. Καὶ λέγει αὐτῷ ὁ γέρων·
make me to-become (a)-monk and says to-him the old-man
Βλέπε τόπον, καὶ ποιοῦμέν σοι κελλίον. Καὶ ἀπελθὼν
look-for (a)-place and we-make for-you (a)-cell and having-gone-away
ἀπὸ σημείου ἑνὸς εὗρε. Καὶ ἀπελθόντες ἐποίησαν κελλίον.
from mile one he-found-it and having-gone-away they-made (a)-cell
Καὶ λέγει τῷ ἀδελφῷ· Εἴ τί σοι λέγω, τοῦτο ποίησον.
and he-says to-the brother if anything to-you I-say this do

Ὅταν πεινᾷς, φάγε, πίε, κοιμῶ· μόνον τοῦ κελλίου σου μὴ
when you-hunger eat drink sleep only the cell your not
ἐξέλθῃς ἕως τοῦ σαββάτου· τότε ἔρχου ἐγγύς μου. Ὁ δὲ
go-out-of until the sabbath then come near me the and
ἀδελφὸς ἐποίησε τὰς δύο ἡμέρας κατὰ τὴν ἐντολήν· καὶ
brother spent the two days according-to the command and
τῇ τρίτῃ ἡμέρᾳ ἀκηδιάσας, λέγει· Τί τοῦτο ἐποίησέ
on-the third day having-grown-listless he-says what this has-done
μοι ὁ γέρων; καὶ ἀναστὰς, ἔψαλλε πλείστους ψαλμούς·
to-me the old-man and having-risen he-chanted very-many psalms
καὶ μετὰ τὸ δῦναι τὸν ἥλιον ἔφαγε· καὶ ἀναστὰς ἀπῆλθε
and after the to-set the sun he-ate and having-risen went-away
κοιμηθῆναι εἰς τὸ ψιάθιον αὐτοῦ. Καὶ θεωρεῖ Αἰθίοπα
to-sleep on the mat his and beholds (an)-Ethiopian
κείμενον τρίζοντα τοὺς ὀδόντας κατ' αὐτοῦ. Καὶ δρομαῖος
lying gnashing the teeth against him and running
φόβῳ πολλῷ ἦλθε πρὸς τὸν γέροντα· καὶ κρούσας
with-fear much he-came to the old-man and having-knocked-on
τὴν θύραν, εἶπεν· Ἀββᾶ, ἐλέησόν με, καὶ ἄνοιξον. Ὁ
the door he-said abba have-mercy-on me and open the
δὲ γέρων, γνοὺς ὅτι οὐκ ἐφύλαξε τὸ ῥῆμα αὐτοῦ, οὐκ
and old-man having-known that not he-kept the word his not
ἤνοιξεν αὐτῷ ἕως πρωΐ, καὶ ἀνοίξας τῷ πρωΐ, εὗρεν
opened to-him until dawn and having-opened at-the dawn he-found
αὐτὸν ἔξω παρακαλοῦντα· καὶ οἰκτηρήσας εἰσήνεγκεν
him outside beseeching and having-pitied brought-in
αὐτόν. Τότε λέγει· Δέομαί σου, Πάτερ· Αἰθίοπα μέλανα
him then he-says I-beseech you Father (an)-Ethiopian black
εἶδον ἐπὶ τὸ ψιάθιόν μου, ὡς ἀπῆλθον κοιμηθῆναι. Ὁ
I-saw on the mat my when I-went-away to-sleep he
δὲ εἶπε· Τοῦτο ἔπαθες, ὅτι οὐκ ἐφύλαξας τὸ ῥῆμά μου.
and said this you-suffered because not you-kept the word my

Τότε τυπώσας αὐτῷ πρὸς τὴν δύναμιν, τὸ ἀκόλουθον
then having-prescribed for-him according-to the strength the sequence
τοῦ μονήρους βίου, κατὰ μικρὸν γέγονε μοναχὸς καλός.
of-the solitary life by little he-became (a)-monk good

XXXVIII · THEODORE OF PHERME

Theodore of Pherme sells three good books for the poor, tells a restless brother he has had no day's rest in seventy years, and sends a trader in words away unanswered. He distinguishes the soul's work, God's commandment, from the side work of the hands, flees the diaconate when shown a pillar of fire, binds three demons outside his cell, and divides his goods with the robbers who come for them, keeping his tunic for the synaxis.

1 Ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης ἐκτήσατο τρία βιβλία
— abba Theodore the — of-Pherme acquired three books
καλά· καὶ παρέβαλε τῷ ἀββᾷ Μακαρίῳ, καὶ λέγει αὐτῷ, ὅτι
fine and he-visited — to-abba Macarius and says to-him that
Ἔχω τρία βιβλία καλὰ, καὶ ὠφελοῦμαι ἐξ αὐτῶν· καὶ οἱ
I-have three books fine and I-am-benefited from them and the
ἀδελφοὶ κιχρῶνται αὐτὰ, καὶ ὠφελοῦνται. Εἰπὲ οὖν μοι, τί
brothers borrow them and are-benefited tell then me what
ὤφειλον ποιῆσαι; κατάσχω αὐτὰ εἰς τὴν ἐμὴν καὶ τὴν τῶν
ought-I to-do shall-I-keep them for the my and the of-the
ἀδελφῶν ὠφέλειαν, ἢ πωλήσω αὐτὰ καὶ δώσω πτωχοῖς;
brothers benefit or shall-I-sell them and give to-(the)-poor
Καὶ ἀποκριθεὶς ὁ γέρων εἶπε· Καλαὶ μὲν αἱ πράξεις, ἀλλὰ
and answering the old-man said fine indeed the deeds but
μείζων πάντων ἡ ἀκτημοσύνη ἐστί. Καὶ τοῦτο ἀκούσας,
greater than-all the poverty is and this having-heard
ἀπελθὼν ἐπώλησεν αὐτὰ, καὶ διέδωκε πτωχοῖς.
having-gone-away he-sold them and distributed-it to-(the)-poor

Ἀδελφός τις καθεζόμενος εἰς τὰ Κελλία ἐταράσσετο 2
brother a-certain sitting in the Cells was-troubled
καταμόνας· καὶ ἀπελθὼν πρὸς τὸν ἀββᾶν Θεόδωρον
alone and having-gone-away to — abba Theodore
τὸν τῆς Φέρμης, εἶπεν αὐτῷ. Ὁ δὲ γέρων εἶπεν· Ὕπαγε,
the — of-Pherme he-told him the and old-man said go
ταπείνωσον τὸν λογισμόν σου, καὶ ὑποτάγηθι, καὶ μεῖνον
humble the thought your and submit and stay
μετὰ ἄλλων. Καὶ ὑποστρέφει πρὸς τὸν γέροντα, καὶ
with others and he-returns to the old-man and
λέγει αὐτῷ· Οὐδὲ μετὰ τῶν ἀνθρώπων ἀναπαύομαι. Καὶ
says to-him not-even with the men I-am-at-rest and
λέγει αὐτῷ ὁ γέρων· Εἰ μόνος οὐκ ἀναπαύῃ, οὐδὲ μετὰ
says to-him the old-man if alone not you-are-at-rest nor with
τῶν ἄλλων, διατί ἐξῆλθες εἰς τὸν μοναχόν; οὐχὶ ἵνα
the others why did-you-go-out to the monk(-life) not so-that
ὑποφέρῃς τὰς θλίψεις; εἰπὲ δέ μοι· Πόσα ἔτη ἔχεις εἰς τὸ
you-may-bear the afflictions tell and me how-many years have-you in the
σχῆμα; Λέγει· Ὀκτώ. Εἶπεν οὖν αὐτῷ ὁ γέρων· Φύσει ἔχω
habit he-says eight said then to-him the old-man truly I-have
ἐν τῷ σχήματι ἑβδομήκοντα ἔτη, καὶ οὐδὲ μίαν ἡμέραν
in the habit seventy years and not-even one day
εὗρον ἀνάπαυσιν· καὶ σὺ εἰς ὀκτὼ ἔτη θέλεις ἀνάπαυσιν
I-found rest and you in eight years wish rest
ἔχειν; Καὶ τοῦτο ἀκούσας, ἑδραιωθεὶς ἀπῆλθεν.
to-have and this having-heard having-been-steadied he-went-away
Παρέβαλεν ἀδελφός ποτε τῷ ἀββᾷ Θεοδώρῳ, καὶ ἐποίησε 3
visited (a)-brother once — to-abba Theodore and spent
τρεῖς ἡμέρας παρακαλῶν αὐτὸν ἀκοῦσαι λόγον. Ὁ δὲ οὐκ
three days beseeching him to-hear (a)-word he and not
ἀπεκρίθη αὐτῷ. Καὶ ἐξῆλθε λυπούμενος. Λέγει οὖν αὐτῷ
answered him and he-went-out grieving says then to-him

ὁ μαθητὴς αὐτοῦ· Ἀββᾶ, πῶς οὐκ εἶπες αὐτῷ λόγον;
the disciple his abba how not did-you-tell him (a)-word
καὶ ἀπῆλθε λυπούμενος. Καὶ λέγει αὐτῷ ὁ γέρων·
and he-went-away grieving and says to-him the old-man
Φύσει οὐκ ἔλεγον αὐτῷ· πραγματευτὴς γάρ ἐστι, καὶ εἰς
truly not I-spoke to-him (a)-trader for he-is and in
ἀλλοτρίους λόγους θέλει δοξάζεσθαι.
others' words he-wishes to-be-glorified

4 Εἶπε πάλιν· Ἐὰν ἔξεις φιλίαν μετὰ τινὸς, καὶ συμβῇ
he-said again if you-have friendship with someone and it-happen
αὐτὸν εἰς πειρασμὸν πορνείας ἐμπεσεῖν, ἐὰν δύνασαι δὸς
him into temptation of-fornication to-fall if you-can give
αὐτῷ χεῖρα, καὶ ἕλκυσον αὐτὸν ἄνω. Ἐὰν δὲ εἰς αἵρεσιν
him (a)-hand and draw him up if but into heresy
ἐμπέσῃ, καὶ μὴ πεισθῇ σοι ἀποστραφῆναι, ταχέως
he-fall and not be-persuaded by-you to-turn-back quickly
κόψον αὐτὸν ἀπὸ σοῦ· μήποτε βραδύνων συγκατασπασθῇς
cut-off him from you lest delaying you-be-dragged-down-with
αὐτῷ εἰς τὸν βόθρον.
him into the pit

5 Ἔλεγον περὶ τοῦ ἀββᾶ Θεοδώρου τοῦ τῆς Φέρμης,
they-said about — abba Theodore the — of-Pherme
ὅτι τὰ τρία ταῦτα κεφάλαια εἶχεν ὑπὲρ πολλούς· τὴν
that the three these chief-points he-had beyond many the
ἀκτημοσύνην, τὴν ἄσκησιν, καὶ τὸ φεύγειν τοὺς ἀνθρώπους.
poverty the discipline and the to-flee the men

6 Εὐκαίρησέ ποτε ὁ ἀββᾶς Θεόδωρος μετ' αὐτῶν· καὶ
happened-to-be once — abba Theodore with them and
ἐσθιόντων αὐτῶν, κατ' εὐλάβειαν ἐλάμβανον τὰ ποτήρια
eating they out-of reverence they-took the cups
σιωπῶντες, καὶ οὐκ ἔλεγον τὸ Συγχώρησον. Καὶ εἶπεν
being-silent and not they-said the forgive and said

ὁ ἀββᾶς Θεόδωρος· Ἀπώλεσαν οἱ μοναχοὶ τὴν εὐγένειαν
— abba Theodore have-lost the monks the nobility
αὐτῶν, τὸ λέγειν, Συγχώρησον.
their the to-say forgive
Ἠρώτησεν αὐτὸν ἀδελφὸς, λέγων· Θέλεις, ἀββᾶ, μικρὰς 7
asked him (a)-brother saying do-you-wish abba (a)-few
ἡμέρας μὴ φάγω ἄρτον; Καὶ λέγει αὐτῷ ὁ γέρων· Καλῶς
days not I-eat bread and says to-him the old-man well
ποιεῖς· καὶ γὰρ κἀγὼ ἐποίησα οὕτως. Καὶ λέγει αὐτῷ
you-do and for I-too did thus and says to-him
ὁ ἀδελφός· Θέλω οὖν λαβεῖν τὰ ἐρεβίνθιά μου εἰς τὸ
the brother I-wish then to-take the chickpeas my to the
ἀρτοκοπεῖον, καὶ ποιῆσαι αὐτὰ ἄλευρον. Καὶ λέγει αὐτῷ
bakery and to-make them flour and says to-him
ὁ γέρων· Εἰ πάλιν ὑπάγεις εἰς τὸ ἀρτοκοπεῖον, ποίησον
the old-man if again you-go to the bakery make
τὸν ἄρτον σου· καὶ τίς ἡ χρεία τῆς ἐξαγωγῆς ταύτης;
the bread your and what (is)-the need of-the going-out this
Ἦλθέ τις τῶν γερόντων πρὸς τὸν ἀββᾶν Θεόδωρον, καὶ 8
came one of-the old-men to — abba Theodore and
εἶπεν αὐτῷ· Ἰδοὺ ὁ δεῖνα ὁ ἀδελφὸς ὑπέστρεψεν εἰς τὸν
said to-him behold the so-and-so the brother has-returned to the
κόσμον. Καὶ εἶπεν αὐτῷ ὁ γέρων· Ἐπὶ τούτῳ θαυμάζεις;
world and said to-him the old-man at this do-you-marvel
μὴ θαυμάσῃς, ἀλλὰ θαύμασον μᾶλλον ἐὰν ἀκούσῃς ὅτι
not marvel but marvel rather if you-hear that
ἠδυνήθη τις ἐκφυγεῖν ἀπὸ τοῦ στόματος τοῦ ἐχθροῦ.
could anyone escape from the mouth of-the enemy
Ἀδελφός τις ἦλθεν πρὸς τὸν ἀββᾶν Θεόδωρον, καὶ 9
brother a-certain came to — abba Theodore and
ἤρξατο λαλεῖν καὶ ἐξετάζειν πράγματα, ὧν οὔπω τὴν
began to-speak and to-examine matters of-which not-yet the

ἐργασίαν ἐποίει. Καὶ λέγει αὐτῷ ὁ γέρων· Οὔπω εὗρες
working he-did and says to-him the old-man not-yet you-found
τὸ πλοῖον, οὐδὲ τὰ σκεύη σου ἔβαλες, καὶ πρὸ τοῦ
the ship nor the goods your you-put-in and before the
πλεῦσαι, ἤδη εἰς τὴν πόλιν ἐκείνην ἀπῆλθες. Πρῶτον
to-sail already to the city that you-have-gone first
ὅταν ποιήσῃς τὸ ἔργον, ἔρχῃ εἰς ἃ νῦν λαλεῖς.
when you-do the work you-come to what now you-speak
10 Ὁ αὐτός ποτε παρέβαλε τῷ ἀββᾷ Ἰωάννῃ τῷ ἀπὸ
the same once visited — to-abba John the from
γεννήσεως εὐνούχῳ· καὶ λαλούντων αὐτῶν, εἶπεν· Ὅταν
birth eunuch and speaking they he-said when
ἤμην εἰς Σκῆτιν, τὰ ἔργα τῆς ψυχῆς ἦν τὸ ἔργον ἡμῶν,
I-was in Scetis the works of-the soul was the work our
τὸ δὲ ἐργόχειρον ὡς πάρεργον εἴχομεν· νῦν δὲ γέγονε τὸ
the but handiwork as (a)-side-work we-held now but has-become the
ἔργον τῆς ψυχῆς ὡς πάρεργον, καὶ τὸ πάρεργον ἔργον.
work of-the soul as (a)-side-work and the side-work (the)-work
11 Ἠρώτησε δὲ αὐτὸν ἀδελφὸς, λέγων· Ποῖόν ἐστι τὸ
asked and him (a)-brother saying what-kind-of is the
ἔργον τῆς ψυχῆς, ὃ νῦν ὡς πάρεργον ἔχομεν, καὶ
work of-the soul which now as (a)-side-work we-hold and
ποῖόν ἐστι τὸ πάρεργον, ὃ νῦν ἔργον ἔχομεν; Καὶ
what-kind-of is the side-work which now (as)-work we-hold and
λέγει ὁ γέρων· Πάντα τὰ γινόμενα διὰ τὴν ἐντολὴν
says the old-man all the(-things) being-done for the commandment
τοῦ Θεοῦ, ἔργον ψυχῆς ἐστι· τὸ δὲ εἰς λόγον ἑαυτῶν
— of-God (a)-work of-soul is the but for (the)-account of-ourselves
ἐργάζεσθαι καὶ συνάγειν, τοῦτο πάρεργον ἔχειν ὀφείλομεν.
to-work and to-gather this (as)-side-work to-hold we-ought
Καὶ λέγει ὁ ἀδελφός· Σαφήνισόν μοι τὴν ὑπόθεσιν
and says the brother make-clear to-me the matter

ταύτην. Καὶ λέγει ὁ γέρων· Ἰδοὺ ἀκούεις περὶ ἐμοῦ
this and says the old-man behold you-hear about me
ὅτι ἀσθενῶ, καὶ ὀφείλεις ἐπισκέψασθαί με, καὶ λέγεις ἐν
that I-am-ill and you-ought to-visit me and you-say in
ἑαυτῷ· Καταλιπεῖν ἔχω τὸ ἔργον μου, καὶ νῦν ἀπελθεῖν;
yourself to-leave am-I the work my and now to-go-away
ἀλλὰ πληρώσω πρῶτον, καὶ οὕτως ἀπέρχομαι. Ἔρχεται
but I-will-finish first and thus I-go-away comes
δέ σοι καὶ ἄλλη ἀφορμὴ, καὶ τάχα οὐδὲ ὅλως ὑπάγεις.
and to-you also another occasion and perhaps not-even at-all you-go
Πάλιν ἄλλος ἀδελφὸς λέγει σοι· Δός μοι χεῖρα, ἀδελφέ!
again another brother says to-you give me (a)-hand brother
καὶ λέγεις· Ἔχω ἀφῆσαι τὸ ἔργον μου, καὶ ἀπελθεῖν
and you-say am-I to-leave the work my and to-go-away
ἐργάσασθαι μετὰ τούτου; Ἐὰν οὖν μὴ ἀπέλθῃς, ἀφίεις
to-work with this(-one) if then not you-go-away you-leave
τὴν ἐντολὴν τοῦ Θεοῦ, ὅ ἐστι τὸ ἔργον τῆς ψυχῆς,
the commandment — of-God which is the work of-the soul
καὶ ποιεῖς τὸ πάρεργον, ὅ ἐστι τὸ ἔργον τῶν χειρῶν.
and you-do the side-work which is the work of-the hands
Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης, ὅτι ἄνθρωπος 12
said — abba Theodore the — of-Pherme that (a)-man
στήκων εἰς μετάνοιαν, οὐ δέδεται εἰς ἐντολήν.
standing in penitence not is-bound to (a)-commandment
Ὁ αὐτὸς εἶπεν· Ἄλλη ἀρετὴ οὐκ ἔστιν, ὡς τὸ μὴ 13
the same said other virtue not there-is like the not
ἐξουθενεῖν.
to-despise
Πάλιν εἶπεν· Ἄνθρωπος μαθὼν τὴν γλυκύτητα τοῦ 14
again he-said (a)-man having-learned the sweetness of-the
κελλίου, οὐχ ὡς ἀτιμάζων τὸν πλησίον αὐτοῦ φεύγει.
cell not as dishonoring the neighbor his flees

15 Πάλιν εἶπεν· Ἐὰν μὴ ἐκκόψω ἐμαυτὸν ἀπὸ τῶν οἰκτιρμῶν
again he-said unless — I-cut-off myself from the compassions
τούτων, οὐκ ἐῶσί με εἶναι μοναχόν.
these not they-let me to-be (a)-monk

16 Εἶπε πάλιν· Πολλοὶ ἐν τῷ καιρῷ τούτῳ εἵλοντο τὴν
he-said again many in the time this have-chosen the
ἀνάπαυσιν, πρὶν ὁ Θεὸς αὐτοῖς παράσχῃ.
rest before — God to-them grant-it

17 Εἶπε πάλιν· Μὴ κοιμηθῇς εἰς τόπον ὅπου ἐστὶ γυνή.
he-said again not sleep in (a)-place where is (a)-woman

18 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Θεόδωρον, λέγων· Θέλω
(a)-brother asked — abba Theodore saying I-wish
ἐπιτελέσαι τὰς ἐντολάς. Λέγει αὐτῷ ὁ γέρων περὶ τοῦ
to-fulfill the commandments says to-him the old-man about —
ἀββᾶ Θεωνᾶ, ὅτι εἶπε καὶ αὐτός ποτε· Θέλω πληρῶσαι
abba Theonas that said also he once I-wish to-fill-up
τὸν λογισμόν μου μετὰ τοῦ Θεοῦ, καὶ λαβὼν σιτίαν
the thought my with — God and having-taken grain
εἰς τὸ ἀρτοκοπεῖον, ἐποίησεν ἄρτους· καὶ αἰτησάντων
to the bakery he-made loaves and having-asked
αὐτὸν πτωχῶν, ἔδωκε τοὺς ἄρτους· καὶ πάλιν αἰτησάντων
him poor(-men) he-gave the loaves and again having-asked
ἄλλων, ἔδωκε τὰ σπυρίδια καὶ τὸ ἱμάτιον ὃ ἐφόρει, καὶ
others he-gave the little-baskets and the garment which he-wore and
εἰσῆλθεν εἰς τὸ κελλίον, περιζωσάμενος τὸ μαφόριον.
he-went-in into the cell having-girded-himself-with the cloak
Καὶ οὕτως πάλιν ἐμέμφετο ἑαυτὸν λέγων, ὅτι Οὐκ
and thus again he-blamed himself saying that not
ἐπλήρωσα τὴν ἐντολὴν τοῦ Θεοῦ.
I-fulfilled the commandment — of-God

Ἠσθένησέ ποτε ὁ ἀββᾶς Ἰωσὴφ, καὶ ἔπεμψε πρὸς τὸν 19
fell-ill once — abba Joseph and sent to —
ἀββᾶν Θεόδωρον, λέγων· Δεῦρο, ἵνα σε ἴδω πρὸ
abba Theodore saying come so-that you I-may-see before
τοῦ με ἐξελθεῖν ἐκ τοῦ σώματος· ἦν δὲ μέσον τῆς
the me to-depart from the body it-was and (the)-middle of-the
ἑβδομάδος. Καὶ οὐκ ἀπῆλθεν· ἔπεμψε δὲ, λέγων· Ἐὰν
week and not he-went-away he-sent but saying if
μείνῃς ἕως τοῦ σαββάτου, ἔρχομαι· εἰ δὲ ὑπάγεις, εἰς
you-remain until the sabbath I-come if but you-go in
ἐκεῖνον τὸν κόσμον βλέπομεν ἀλλήλους.
that the world we-see each-other

Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Θεοδώρῳ· Εἰπέ μοι ῥῆμα, ὅτι 20
(a)-brother said — to-abba Theodore tell me (a)-word for
ἀπόλλυμαι. Καὶ μετὰ κόπου εἶπεν αὐτῷ· Ἐγὼ κινδυνεύω,
I-am-perishing and with toil he-said to-him I am-in-danger
καὶ τί σοι ἔχω εἰπεῖν;
and what to-you am-I-able to-say

Ἀδελφὸς ἦλθε πρὸς τὸν ἀββᾶν Θεόδωρον, ἵνα διδάξῃ 21
(a)-brother came to — abba Theodore so-that he-might-teach
αὐτὸν ῥάπτειν, ἐνέγκας καὶ τὴν σειρὰν πρὸς αὐτόν.
him to-sew having-brought also the rope to him
Ὁ δὲ γέρων λέγει αὐτῷ· Ὕπαγε, καὶ πρωῒ δεῦρο ὧδε.
the and old-man says to-him go and at-dawn come here
Καὶ ἀναστὰς ὁ γέρων, ἔβρεξεν αὐτῷ τὴν σειρὰν, καὶ
and having-risen the old-man soaked for-him the rope and
ἡτοίμασεν αὐτῷ τὴν προκαταραφὴν, λέγων· Οὕτως καὶ
prepared for-him the first-stitching saying thus and
οὕτως ποίησον· καὶ ἀφῆκεν αὐτόν. Καὶ εἰσελθὼν εἰς
thus do and he-left him and having-gone-in into
τὸ κελλίον αὐτοῦ, ἐκάθισεν ὁ γέρων· καὶ εἰς τὴν ὥραν,
the cell his sat the old-man and at the hour

ἐποίησεν αὐτὸν φαγεῖν, καὶ ἀπέπεμψεν. Ἦλθε δὲ πάλιν
he-made him to-eat and sent-him-away he-came and again
πρωΐ· καὶ λέγει αὐτῷ ὁ γέρων· Ἆρον τὴν σειράν σου
at-dawn and says to-him the old-man take the rope your
ἔνθεν, καὶ ἀναχώρει· εἰς πειρασμὸν γὰρ ἦλθες βαλεῖν
from-here and withdraw into temptation for you-came to-put
με καὶ εἰς φροντίδα. Καὶ οὐκ ἔτι ἀφῆκεν αὐτὸν ἔσω.
me and into care and not any-longer he-let him inside

22 Εἶπεν ὁ μαθητὴς τοῦ ἀββᾶ Θεοδώρου, ὅτι Ἦλθέ ποτέ τις
said the disciple — of-abba Theodore that came once someone
πωλῶν κρόμμυα, καὶ ἐγέμισέ μοι κρατῆρα. Καὶ λέγει ὁ
selling onions and he-filled for-me (a)-bowl and says the
γέρων· Γέμισον αὐτῷ σῖτον, καὶ δὸς αὐτῷ. Ἦσαν δὲ δύο
old-man fill for-him grain and give-it to-him there-were and two
βουνοὶ σίτου, εἷς καθαρὸς, καὶ εἷς ἀκάθαρτος· ἐγέμισα δὲ
heaps of-grain one clean and one unclean I-filled and
αὐτῷ ἐκ τοῦ ἀκαθάρτου. Καὶ προσέσχε μοι ὁ γέρων μετὰ
for-him from the unclean and looked-at me the old-man with
ἔξεως καὶ λύπης· καὶ ἀπὸ τοῦ φόβου ἔπεσον, καὶ ἔκλασα τὸν
sternness and grief and from the fear I-fell and broke the
κρατῆρα· καὶ ἔβαλον αὐτῷ μετάνοιαν. Καὶ λέγει ὁ γέρων·
bowl and I-made to-him penitence and says the old-man
Ἐγείρου, οὐκ ἔχεις σὺ πρᾶγμα, ἀλλ' ἐγὼ ἥμαρτον, ὅτι
rise not have you (a)-fault but I sinned because
εἶπόν σοι. Καὶ εἰσελθὼν ὁ γέρων ἐγέμισε τὸν κόλπον αὐτοῦ
I-told you and having-gone-in the old-man filled the bosom his
σῖτον καθαρὸν, καὶ ἔδωκεν αὐτῷ μετὰ τῶν κρομμύων.
(with)-grain clean and gave-it to-him with the onions

23 Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Θεόδωρος μετὰ ἀδελφοῦ γεμίσαι
went-away once — abba Theodore with (a)-brother to-fill
ὕδωρ· καὶ προλαβὼν ὁ ἀδελφὸς εἰς τὸν λάκκον εἶδε
water and having-gone-ahead the brother to the cistern saw

δράκοντα. Καὶ λέγει αὐτῷ ὁ γέρων Ὕπαγε, πάτησον
(a)-serpent and says to-him the old-man go tread-on
τὴν κεφαλὴν αὐτοῦ. Καὶ φοβηθεὶς οὐκ ἀπῆλθεν. Ἦλθε δὲ
the head its and having-feared not he-went-away came and
ὁ γέρων, καὶ εἶδεν αὐτὸν τὸ θηρίον, καὶ καταισχυνθὲν
the old-man and saw him the beast and having-been-put-to-shame
ἔφυγεν εἰς τὴν ἔρημον.
fled into the desert

Ἠρώτησέ τις τὸν ἀββᾶν Θεόδωρον· Ἐὰν ἄφνω γένηταί 24
asked someone — abba Theodore if suddenly there-happen
τις πτῶσις, καὶ σὺ φοβῇ, ἀββᾶ; Λέγει αὐτῷ ὁ γέρων·
some collapse also you fear abba says to-him the old-man
Ἐὰν κολληθῇ ὁ οὐρανὸς τῇ γῇ, Θεόδωρος οὐ φοβεῖται.
if be-glued the heaven to-the earth Theodore not fears
Ἦν γὰρ δεηθεὶς τοῦ Θεοῦ, ἵνα ἀρθῇ ἀπ᾽ αὐτοῦ ἡ
he-had for besought — God that be-taken from him the
δειλία. Διὰ τοῦτο καὶ ἠρώτησεν αὐτόν.
cowardice because-of this also he-asked him

Ἐλέγετο περὶ αὐτοῦ, ὅτι γενόμενος διάκονος εἰς Σκῆτιν 25
it-was-said about him that having-become deacon in Scetis
οὐκ ἤθελε καταδέξασθαι διακονεῖν, καὶ εἰς πολλοὺς τόπους
not he-wished to-consent to-serve and to many places
ἔφυγε. Καὶ πάλιν οἱ γέροντες ἔφερον αὐτὸν, λέγοντες·
he-fled and again the old-men brought him saying
Μὴ καταλίπῃς τὴν διακονίαν σου. Λέγει αὐτοῖς ὁ
not leave the diaconate your says to-them —
ἀββᾶς Θεόδωρος· Ἐάσατέ με, καὶ δέομαι τοῦ Θεοῦ, εἰ
abba Theodore let me and I-beseech — God whether
πληροφορήσει με στῆναι εἰς τὸν τόπον τῆς λειτουργίας
he-will-assure me to-stand in the place of-the ministry
μου. Καὶ δεόμενος τοῦ Θεοῦ, ἔλεγεν· Εἰ θέλημά σού
my and beseeching — God he-said if will your

ἐστιν ἵνα στῶ εἰς τὸν τόπον μου, πληροφόρησόν με.
it-is that I-stand in the place my assure me
Καὶ ἐδείχθη αὐτῷ στύλος πυρὸς ἀπὸ τῆς γῆς ἕως τοῦ
and was-shown to-him (a)-pillar of-fire from the earth to the
οὐρανοῦ, καὶ φωνὴ λέγουσα· Εἰ δύνασαι γενέσθαι ὡς
heaven and (a)-voice saying if you-can become like
ὁ στύλος οὗτος, ὕπαγε, διακόνησον. Ὁ δὲ ἀκούσας
the pillar this go serve he and having-heard
ἔκρινε μηκέτι καταδέξασθαι. Ἐλθόντος οὖν αὐτοῦ εἰς τὴν
decided no-longer to-consent having-come then he into the
ἐκκλησίαν, ἔβαλον αὐτῷ μετάνοιαν οἱ ἀδελφοὶ, λέγοντες·
church made to-him penitence the brothers saying
Εἰ οὐ θέλεις διακονεῖν, κἂν τὸ ποτήριον κατάσχε. Καὶ
if not you-wish to-serve at-least the cup hold and
οὐκ ἠνέσχετο, λέγων· Ἐὰν μὴ ἀφῆτε, ἀναχωρῶ ἐκ τοῦ
not he-endured-it saying unless — you-let-me-be I-withdraw from the
τόπου τούτου. Καὶ οὕτως ἀφῆκαν αὐτόν.
place this and thus they-let-be him

26 Ἔλεγον δὲ περὶ αὐτοῦ, ὅτι ὡς ἠρημώθη ἡ Σκῆτις, ἦλθε
they-said and about him that when was-laid-waste — Scetis he-came
μεῖναι εἰς Φέρμην· καὶ γηράσας ἠσθένησε. Προσέφερον
to-stay at Pherme and having-grown-old he-fell-ill brought
οὖν αὐτῷ ἐδέσματά τινα. Καὶ ἃ ἔφερεν ὁ πρῶτος, ἐδίδου
then to-him foods some and what brought the first he-gave
τῷ δευτέρῳ, καὶ οὕτως κατὰ τὴν τάξιν, ἃ ἐλάμβανεν
to-the second and thus in the order what he-received
παρὰ τοῦ πρώτου, παρεῖχε τῷ ἄλλῳ· εἰς δὲ τὴν ὥραν
from the first he-provided to-the other at but the hour
τοῦ γεύσασθαι, ὃ ἔφερεν ὁ ἐρχόμενος, τοῦτο ἤσθιεν.
of-the to-eat what brought the(-one) coming this he-ate

Ἔλεγον περὶ τοῦ ἀββᾶ Θεοδώρου, ὅτι ὅτε ἐκάθητο ἐν 27
they-said about — abba Theodore that when he-was-sitting in
Σκήτει, ἦλθε πρὸς αὐτὸν δαίμων θέλων εἰσελθεῖν· καὶ
Scetis came to him (a)-demon wishing to-go-in and
ἔδησεν αὐτὸν ἔξω τῆς κέλλης. Καὶ πάλιν ἄλλος δαίμων
he-bound him outside the cell and again another demon
ἦλθεν εἰσελθεῖν· καὶ τοῦτον ἔδησε. Καὶ προσθεὶς ὁ
came to-go-in and this(-one) he-bound and having-come-in-addition the
τρίτος δαίμων, ἦλθε, καὶ εὗρε δεδεμένους τοὺς δύο· καὶ
third demon came and found bound the two and
λέγει αὐτοῖς· Τί ἑστήκατε ὧδε ἔξω; Καὶ λέγουσιν αὐτῷ, ὅτι
he-says to-them why do-you-stand here outside and they-say to-him that
Ἔστι καθήμενος ἔσω, καὶ μὴ ἐῶν ἡμᾶς εἰσελθεῖν. Καὶ αὐτὸς
there-is (one)-sitting within and not letting us to-go-in and he
τυραννήσας ἐπεχείρησεν εἰσελθεῖν. Ὁ δὲ γέρων ἔδησε καὶ
having-played-the-tyrant attempted to-go-in the but old-man bound also
τοῦτον. Φοβηθέντες δὲ τὰς εὐχὰς τοῦ γέροντος, παρεκάλουν
this(-one) having-feared and the prayers of-the old-man they-besought
αὐτὸν, λέγοντες· Ἀπόλυσον ἡμᾶς. Καὶ λέγει αὐτοῖς ὁ
him saying release us and says to-them the
γέρων· Ὑπάγετε. Καὶ λοιπὸν αἰσχυνθέντες ἀνεχώρησαν.
old-man go and thereafter having-been-shamed they-withdrew
Διηγήσατό τις τῶν Πατέρων, περὶ τοῦ ἀββᾶ Θεοδώρου τοῦ 28
related one of-the Fathers about — abba Theodore the
τῆς Φέρμης, ὅτι Ἦλθόν ποτε δείλης πρὸς αὐτὸν, καὶ εὗρον
— of-Pherme that I-came once at-evening to him and found
αὐτὸν φοροῦντα κεκομμένον λεβίτωνα, καὶ τὸ στῆθος αὐτοῦ
him wearing (a)-cut-down tunic and the chest his
γυμνὸν, καὶ τὸ κουκούλιον αὐτοῦ ἔμπροσθεν. Καὶ ἰδού
bare and the hood his in-front and behold
τις Κόμης ἦλθεν ἰδεῖν αὐτόν. Καὶ κρούσαντος αὐτοῦ,
a-certain count came to-see him and having-knocked he

ἐξῆλθεν ὁ γέρων ἀνοῖξαι, καὶ ἀπαντήσας αὐτῷ ἐκάθισεν
went-out the old-man to-open and having-met him sat
εἰς τὴν θύραν λαλεῖν αὐτῷ. Καὶ ἔλαβον κόμμα μαφορίου,
at the door to-speak with-him and I-took (a)-piece of-cloak
καὶ ἐσκέπασα τοὺς ὤμους αὐτοῦ. Ὁ δὲ γέρων ἐξέτεινε
and covered the shoulders his the but old-man stretched-out
τὴν χεῖρα, καὶ ἔῤῥιψε αὐτό. Καὶ ὡς ἀπῆλθεν ὁ Κόμης,
the hand and threw-off it and when went-away the count
εἶπον αὐτῷ· Ἀββᾶ, τί τοῦτο ἐποίησας; ἦλθεν ὁ ἄνθρωπος
I-said to-him abba why this did-you-do came the man
ὠφεληθῆναι· μὴ ἵνα σκανδαλισθῇ; Καὶ λέγει μοι ὁ γέρων·
to-be-benefited not so-that he-be-scandalized and says to-me the old-man
Τί λέγεις μοι, ἀββᾶ; ἀκμὴν τοῖς ἀνθρώποις δουλεύομεν;
what do-you-say to-me abba still to-the men are-we-slaves
ἐποιήσαμεν τὴν χρείαν· παρῆλθε λοιπόν. Ὁ θέλων
we-did the need it-passed thereafter the(-one) wishing
ὠφεληθῆναι, ὠφεληθῇ· ὁ θέλων σκανδαλισθῆναι,
to-be-benefited let-him-be-benefited the(-one) wishing to-be-scandalized
σκανδαλισθῇ· ἐγὼ δὲ ὡς δ' ἂν εὑρεθῶ, οὕτως ἀπαντῶ.
let-him-be-scandalized I but as — — I-am-found thus I-meet
Παρήγγειλε δὲ τῷ μαθητῇ αὐτοῦ, λέγων· Ἐάν τις ἔλθῃ
he-charged and to-the disciple his saying if anyone come
ἰδεῖν με θέλων, μὴ εἴπῃς αὐτῷ τί ποτε ἀνθρώπινον· ἀλλ'
to-see me wishing not tell him anything ever human but
ἐὰν τρώγω, εἰπὲ, Τρώγει· ἐὰν κοιμῶμαι, εἰπὲ, Κοιμᾶται.
if I-eat say he-eats if I-sleep say he-sleeps

29 Ἦλθόν ποτε ἐπάνω αὐτοῦ τρεῖς λησταί· καὶ οἱ δύο
came once upon him three robbers and the two
ἐκράτουν αὐτὸν, ὁ δὲ εἷς ἐκουβάλει τὰ σκεύη αὐτοῦ. Ὡς
held him the and one carried-off the goods his when
δὲ ἐξήνεγκε τὰ βιβλία, καὶ τὸν λεβίτωνα ἤθελε λαβεῖν·
and he-brought-out the books and the tunic wished to-take

τότε λέγει αὐτοῖς· Τοῦτο ἀφίετε. Οἱ δὲ οὐκ ἤθελον.
then he-says to-them this leave they but not wished
Καὶ κινήσας τὰς χεῖρας αὐτοῦ ἔῤῥιψε τοὺς δύο. Καὶ
and having-moved the hands his he-threw-down the two and
ἰδόντες ἐφοβήθησαν. Καὶ λέγει αὐτοῖς ὁ γέρων· Μηδὲν
having-seen(-it) they-feared and says to-them the old-man nothing
δειμάσητε· ποιήσατε αὐτὰ εἰς τέσσαρα μέρη, καὶ λάβετε
be-afraid make them into four parts and take
τὰ τρία, καὶ ἄφετε τὸ ἕν. Καὶ οὕτως ἐποίησαν· διὰ τὸ
the three and leave the one and thus they-did for the
λαβεῖν τὸ μέρος αὐτοῦ τὸν λεβίτωνα τὸν συνακτικόν.
to-take the part his the tunic the for-the-synaxis

XXXIX · THEODORE OF ENATON

Theodore of Enaton bakes six measures for others before his own two, and with Lucius spends fifty years putting off his thoughts of moving until the next season.

Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τοῦ Ἐννάτου, ὅτι Ὅτε ἤμην 1
said — abba Theodore the — of-Enaton that when I-was
νεώτερος, εἰς τὴν ἔρημον ἔμενον. Ἀπῆλθον οὖν εἰς τὸ
younger in the desert I-stayed I-went-away then to the
ἀρτοκοπεῖον ποιῆσαι δύο σιτίας, καὶ εὗρον ἐκεῖ ἀδελφὸν
bakery to-make two measures and I-found there (a)-brother
θέλοντα ποιῆσαι ἄρτους, καὶ οὐκ εἶχέ τινα δοῦναι αὐτῷ
wishing to-make loaves and not he-had anyone to-give him
χεῖρα. Ἐγὼ δὲ ἀφῆκα τὰ ἐμὰ, καὶ ἔδωκα αὐτῷ χεῖρα. Ὡς
(a)-hand I but left the mine and gave him (a)-hand when
δὲ ἐσχόλασα, ἦλθεν ἄλλος ἀδελφὸς, καὶ πάλιν ἔδωκα αὐτῷ
and I-was-free came another brother and again I-gave him

χεῖρα, καὶ ἐποίησα τὰ ψωμία. Καὶ πάλιν τρίτος ἦλθε,
(a)-hand and I-made the little-loaves and again (a)-third came
καὶ ἐποίησα ὁμοίως· καὶ οὕτως ἕκαστον τῶν ἐρχομένων
and I-did likewise and thus each of-the coming(-ones)
ἐποίουν· καὶ ἐποίησα ἓξ σιτίας. Ὕστερον δὲ ἐποίησα τὰς
I-did and I-made six measures later and I-made the
δύο σιτίας τὰς ἐμὰς, ἀποσχόντων τῶν ἐρχομένων.
two measures the mine having-ceased the coming(-ones)

2 Ἔλεγον περὶ τοῦ ἀββᾶ Θεοδώρου καὶ τοῦ ἀββᾶ Λουκίου τῶν
they-said about — abba Theodore and — abba Lucius the
τοῦ Ἐννάτου, ὅτι ἐποίησαν πεντήκοντα ἔτη, χλευάζοντες τοὺς
— of-Enaton that they-spent fifty years mocking the
λογισμοὺς αὐτῶν, καὶ λέγοντες· Μετὰ τὸν χειμῶνα τοῦτον,
thoughts their and saying after the winter this
μεταβαίνομεν ἐντεῦθεν. Ὅτε δὲ πάλιν ἤρχετο τὸ θέρος,
we-move from-here when and again came the summer
ἔλεγον, ὅτι Μετὰ τὸ θέρος τοῦτο ἀπερχόμεθα ἐντεῦθεν. Καὶ
they-said that after the summer this we-go-away from-here and
οὕτως ἐποίησαν πάντα τὸν χρόνον οἱ ἀείμνηστοι Πατέρες.
thus they-spent all the time the ever-memorable Fathers

3 Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τῶν Ἐννάτου, ὅτι Ἐὰν
said — abba Theodore the(-one) of-the(-men) of-Enaton that if
λογίσηται ἡμῖν ὁ Θεὸς τὰς ἐν ταῖς εὐχαῖς ἀμελείας, καὶ τὰς
should-reckon against-us — God the in the prayers negligences and the
αἰχμαλωσίας τὰς ἐν ταῖς ψαλμῳδίαις, οὐ δυνάμεθα σωθῆναι.
captivities the in the psalmodies not we-can be-saved

XL · THEODORE OF SCETIS

Theodore of Scetis says a thought that troubles a man cannot act, only hinder, and the sober man shakes it off and prays.

Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ εἰς Σκῆτιν· Ἔρχεται ὁ 1
said — abba Theodore the in Scetis comes the
λογισμὸς, καὶ ταράσσει με, καὶ ἀσχολεῖ με, καὶ τὴν
thought and troubles me and occupies me and the
πρᾶξιν οὐκ ἰσχύει ποιῆσαι, ἀλλὰ μόνον ἐμποδίζει πρὸς
deed not it-is-able to-do but only hinders toward
τὴν ἀρετήν· ὁ δὲ νηφάλιος ἀνὴρ, ἐκτιναξάμενος αὐτὸν,
the virtue the but sober man having-shaken-off it
ἐγείρεται εἰς προσευχήν.
rises to prayer

XLI · THEODORE OF ELEUTHEROPOLIS

Theodore of Eleutheropolis would rather be honored for good works than shamed for bad ones, and Theodotus says want of bread wastes the monk's body, another old man that vigil wastes it more.

Ἠρώτησεν ὁ ἀββᾶς Ἀβραὰμ ὁ Ἰβὴρ τὸν ἀββᾶν Θεόδωρον 1
asked — abba Abraham the Iberian — abba Theodore
τὸν Ἐλευθεροπολίτην, λέγων· Πῶς καλῶς ἐστι, Πάτερ;
the Eleutheropolitan saying how well is-it Father
δόξαν περιποιήσομαι ἐμαυτῷ, ἢ ἀτιμίαν; Ὁ δὲ γέρων λέγει·
glory shall-I-gain for-myself or dishonor the and old-man says
Τέως ἐγὼ θέλω περιποιήσασθαι δόξαν, ἢ ἀτιμίαν. Ἐὰν
for-my-part I wish to-gain glory than dishonor if

γὰρ ποιήσω καλὸν ἔργον, καὶ δοξασθῶ, δύναμαι κατακρῖναι
for I-do (a)-good work and be-glorified I-can condemn
τὸν λογισμόν μου, ὅτι οὐκ εἰμὶ ἄξιος τῆς δόξης ταύτης·
the thought my that not I-am worthy of-the glory this
ἡ δὲ ἀτιμία ἀπὸ φαύλων πραγμάτων γίνεται. Πῶς οὖν
the but dishonor from base deeds comes how then
δύναμαι παρακαλέσαι τὴν καρδίαν μου, σκανδαλισθέντων
can-I console the heart my having-been-scandalized
ἐν ἐμοὶ τῶν ἀνθρώπων; κρεῖσσον οὖν τὸ ἀγαθὸν ποιεῖν, καὶ
in me the men better then the good to-do and
δοξάζεσθαι. Ὁ δὲ ἀββᾶς Ἀβραὰμ εἶπε· Καλῶς εἶπας, Πάτερ.
to-be-glorified — and abba Abraham said well you-spoke Father

2 Εἶπεν ὁ ἀββᾶς Θεόδοτος· Ἡ ἔνδεια τοῦ ἄρτου τήκει
said — abba Theodotus the want of-the bread wastes
τὸ σῶμα τοῦ μοναχοῦ. Ἄλλος δὲ γέρων ἔλεγεν, ὅτι ἡ
the body of-the monk another and old-man said that the
ἀγρυπνία πλέον τήκει τὸ σῶμα.
vigil more wastes the body

XLII · THEONAS

Theonas says that a mind distracted from God is taken captive by the passions of the flesh.

1 Εἶπεν ὁ ἀββᾶς Θεωνᾶς· Διὰ τὸ ἀπασχοληθῆναι τὸν
said — abba Theonas because-of the to-be-distracted the
νοῦν ἀπὸ τῆς εἰς Θεὸν θεωρίας, αἰχμαλωτιζόμεθα ὑπὸ
mind from the toward God contemplation we-are-taken-captive by
τῶν παθῶν τῶν σαρκικῶν.
the passions the fleshly

XLIII · THEOPHILUS THE ARCHBISHOP

Theophilus, visiting Nitria, hears that its road is self-accusation, and Pambo will not speak to him, since one not helped by silence will not be helped by words. Fathers eat his veal unawares, then refuse it; he describes the soul's trial before the powers of darkness at its parting, and, dying, calls Arsenius blessed for keeping that hour always in mind.

Ὁ μακάριος Θεόφιλος ὁ ἀρχιεπίσκοπος παρέβαλέ ποτε 1
the blessed Theophilus the archbishop visited once
εἰς τὸ ὄρος τῆς Νιτρίας· καὶ ἦλθεν ὁ ἀββᾶς τοῦ ὄρους
to the mountain — of-Nitria and came the abba of-the mountain
πρὸς αὐτόν. Καὶ λέγει αὐτῷ ὁ ἀρχιεπίσκοπος· Τί εὗρες
to him and says to-him the archbishop what did-you-find
ἐν τῇ ὁδῷ ταύτῃ πλέον, Πάτερ; Λέγει αὐτῷ ὁ γέρων·
on the road this more Father says to-him the old-man
Τὸ αἰτιᾶσθαι καὶ μέμφεσθαι ἑαυτὸν πάντοτε. Λέγει αὐτῷ
the to-accuse and to-blame oneself always says to-him
ὁ ἀββᾶς Θεόφιλος· Ἄλλη ὁδὸς οὐκ ἔστιν, εἰ μὴ αὕτη.
— abba Theophilus other road not there-is if not this
Ὁ αὐτὸς ἀββᾶς Θεόφιλος ὁ ἀρχιεπίσκοπος παρέβαλέ 2
the same abba Theophilus the archbishop visited
ποτε εἰς τὴν Σκῆτιν. Συναχθέντες δὲ οἱ ἀδελφοὶ εἶπον
once to — Scetis having-been-gathered and the brothers said
τῷ ἀββᾷ Παμβῷ· Εἰπὲ ἕνα λόγον τῷ Πάπᾳ, ὅπως
— to-abba Pambo say one word to-the Pope that
ὠφεληθῇ. Λέγει αὐτοῖς ὁ γέρων· Εἰ οὐκ ὠφελεῖται ἐν
he-may-be-benefited says to-them the old-man if not he-is-benefited by
τῇ σιωπῇ μου, οὐδὲ ἐν τῷ λόγῳ μου ὠφεληθῆναι ἔχει.
the silence my nor by the word my to-be-benefited he-is-able

3 Ἦλθόν ποτε Πατέρες εἰς Ἀλεξάνδρειαν, κληθέντες ὑπὸ
came once Fathers to Alexandria having-been-called by
Θεοφίλου τοῦ ἀρχιεπισκόπου, ἵνα ποιήσῃ εὐχὴν, καὶ
Theophilus the archbishop so-that he-might-make (a)-prayer and
καθέλῃ τὰ ἱερά. Καὶ ἐσθιόντων αὐτῶν μετ' αὐτοῦ,
he-might-pull-down the temples and eating they with him
παρετέθη κρέας μόσχιον· καὶ ἤσθιον, μηδὲν διακρινόμενοι.
was-served meat of-veal and they-ate nothing discriminating
Καὶ λαβὼν ὁ ἐπίσκοπος ἓν κοπάδιν ἔδωκε τῷ ἐγγιστα
and having-taken the bishop one chop he-gave-it to-the nearest
αὐτοῦ γέροντι, λέγων· Ἰδοὺ τοῦτο καλὸν κοπάδιν ἐστὶ,
him old-man saying behold this (a)-fine chop is
φάγε, ἀββᾶ. Οἱ δὲ ἀποκριθέντες εἶπον· Ἡμεῖς ἕως ἄρτι
eat abba they and answering said we until now
λάχανα ἠσθίομεν· εἰ δὲ κρέας ἐστὶ, οὐ τρώγομεν. Καὶ οὐκ
vegetables ate if but meat it-is not we-eat and not
ἔτι προσέθετο οὐδὲ εἷς ἐξ αὐτῶν γεύσασθαι αὐτοῦ.
any-longer ventured not-even one of them to-taste it

4 Ὁ αὐτὸς ἀββᾶς Θεόφιλος ἔλεγεν· Οἷον φόβον καὶ τρόμον
the same abba Theophilus said what fear and trembling
καὶ ἀνάγκην ἔχομεν ἰδεῖν, ὅτε ἡ ψυχὴ τοῦ σώματος
and distress we-are to-see when the soul from-the body
χωρίζεται! Παραγίνεται γὰρ πρὸς ἡμᾶς στρατιὰ καὶ δύναμις
is-separated comes for to us (an)-army and (a)-power
τῶν ἐναντίων δυνάμεων, οἱ τοῦ σκότους ἄρχοντες, οἱ
of-the opposing powers the of-the darkness rulers the
κοσμοκράτορες τῆς πονηρίας, καὶ ἀρχαὶ καὶ ἐξουσίαι, τὰ
world-rulers of-the wickedness and principalities and authorities the
πνεύματα τῆς πονηρίας· καὶ τρόπῳ τινὶ δίκης κατέχουσι
spirits of-the wickedness and in-manner some of-(a)-lawsuit they-hold-fast
τὴν ψυχὴν, ἐπιφέροντες πάντα αὐτῆς τὰ ἐν γνώσει καὶ
the soul bringing-forward all its the in knowledge and

ἀγνοίᾳ ἁμαρτήματα, ἀπὸ νεότητος ἕως τῆς ἡλικίας ἧς
ignorance sins from youth until the age at-which
κατελήφθη. Ἵστανται οὖν κατηγοροῦντες πάντα τὰ
it-was-overtaken they-stand then accusing all the(-things)
πεπραγμένα ὑπ᾽ αὐτῆς. Λοιπὸν ὁποῖον τρόμον δοκεῖς
done by it then what-sort-of trembling do-you-think
τὴν ψυχὴν ἔχειν ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἕως οὗ ἡ ἀπόφασις
the soul to-have in the hour that until which the sentence
ἐξέλθῃ, καὶ ἐλευθερία γένηται αὐτῆς; τοῦτό ἐστιν ἡ ὥρα
go-out and freedom happen for-it this is the hour
τῆς ἀνάγκης αὐτῆς, ἕως οὗ ἴδῃ τί τὸ ἀποβησόμενον
of-the distress its until which it-see what the(-thing) about-to-befall
αὐτῇ. Καὶ πάλιν αἱ θεῖαι δυνάμεις ἵστανται κατὰ πρόσωπον
it and again the divine powers stand against (the)-face
τῶν ἐναντίων, καὶ αὗται τὰ καλὰ αὐτῆς ἐπιφέρουσαι.
of-the opposing(-ones) and these the good(-deeds) its bringing-forward
Κατανόει οὖν ἡ ψυχὴ μέση ἱσταμένη ποίῳ ἄρα φόβῳ
consider then the soul in-the-middle standing in-what then fear
καὶ τρόμῳ στήκει, ἕως οὗ ἡ κρίσις αὐτῆς ἀπόφασιν
and trembling it-stands until which the judgment its sentence
λάβῃ παρὰ τοῦ δικαιοκρίτου. Καὶ ἐὰν μὲν ᾖ ἀξία, ἐκεῖνοι
take from the righteous-judge and if indeed it-be worthy those
λαμβάνουσιν ἐπιτιμίαν, καὶ αὐτὴ ἁρπάζεται ἀπ᾽ αὐτῶν·
receive rebuke and it is-snatched from them
καὶ λοιπὸν ἀμέριμνος εἶ, μᾶλλον δὲ κατοικεῖ κατὰ τὸ
and thereafter carefree you-are rather and it-dwells according-to the
γεγραμμένον· Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.
written as of-(those)-rejoicing all the dwelling in you
Τότε πληροῦται τὸ γεγραμμένον· Ἀπέδρα ὀδύνη καὶ λύπη
then is-fulfilled the written fled pain and grief
καὶ στεναγμός· τότε ἀπαλλαγεῖσα πορεύεται εἰς ἐκείνην
and groaning then having-been-freed it-goes to that

τὴν ἀνεκλάλητον χαρὰν καὶ δόξαν, εἰς ἣν καταστήσεται.
the unspeakable joy and glory in which it-will-be-established
Ἐὰν δὲ εὑρεθῇ ἐν ἀμελείᾳ ζήσασα, ἀκούει τὴν δεινοτάτην
if but it-be-found in negligence having-lived it-hears the most-terrible
φωνήν· Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν
voice let-be-taken-away the ungodly that not he-see the glory
Κυρίου. Τότε αὐτὴν καταλαμβάνει ἡμέρα ὀργῆς, ἡμέρα
of-(the)-Lord then it overtakes (a)-day of-wrath (a)-day
θλίψεως, ἡμέρα σκότους καὶ γνόφου. Παραδιδομένη εἰς τὸ
of-affliction (a)-day of-darkness and gloom being-handed-over into the
ἐξώτερον σκότος, καὶ εἰς τὸ αἰώνιον πῦρ κατακριθεῖσα,
outer darkness and into the eternal fire having-been-condemned
εἰς ἀπεράντους αἰῶνας κολασθήσεται. Τότε ποῦ ἡ καύχησις
to endless ages it-will-be-punished then where the boasting
τοῦ κόσμου; ποῦ ἡ κενοδοξία; ποῦ ἡ τρυφή; ποῦ ἡ
of-the world where the vainglory where the luxury where the
ἀπόλαυσις; ποῦ ἡ φαντασία; ποῦ ἡ ἀνάπαυσις; ποῦ ὁ
enjoyment where the display where the rest where the
κόμπος; ποῦ τὰ χρήματα; ποῦ ἡ εὐγένεια; ποῦ πατήρ;
pomp where the riches where the nobility where (the)-father
ποῦ μήτηρ; ποῦ ἀδελφός; τίς δυνήσεται τούτων ἐξελέσθαι
where (the)-mother where (the)-brother who will-be-able of-these to-rescue
τὴν ὑπὸ πυρὸς φλεγομένην, καὶ ὑπὸ πικρῶν βασάνων
the(-soul) by fire burning and by bitter torments
κατεχομένην; Τούτων οὕτως γινομένων, ποταποὺς δεῖ
being-held these(-things) thus happening what-sort-of must
ὑπάρχειν ἡμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις;
to-be we in holy conduct and pieties
ποταπὴν ἀγάπην ὀφείλομεν κτήσασθαι; ποταπὴν ἀγωγήν;
what-sort-of love ought-we to-acquire what-sort-of training
ποταπὴν πολιτείαν; ποταπὸν δρόμον; ὁποίαν ἀκρίβειαν;
what-sort-of way-of-life what-sort-of course what precision

ὁποίαν προσευχήν; ὁποίαν ἀσφάλειαν; Ταῦτα γὰρ,
what prayer what security these(-things) for
φησὶ, προσδοκῶντες, σπουδάσωμεν ἄσπιλοι καὶ ἀμώμητοι
he-says expecting let-us-be-eager spotless and blameless
εὑρεθῆναι αὐτῷ ἐν εἰρήνῃ, ἵνα καταξιωθῶμεν αὐτοῦ
to-be-found by-him in peace so-that we-may-be-deemed-worthy him
ἀκοῦσαι λέγοντος· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός
to-hear saying come the(-ones) blessed of-the Father
μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ
my inherit the prepared for-you kingdom from
καταβολῆς κόσμου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
(the)-foundation of-(the)-world to the ages of-the ages amen
Ὁ αὐτὸς ἀββᾶς Θεόφιλος ὁ ἀρχιεπίσκοπος, μέλλων 5
the same abba Theophilus the archbishop being-about
τελευτᾷν, εἶπε· Μακάριος εἶ, ἀββᾶ Ἀρσένιε, ὅτι ταύτης
to-die said blessed are-you abba Arsenius because this
ἀεὶ ἐμνημόνευες τῆς ὥρας.
always you-remembered the hour

Theodora learns from Theophilus to buy up the time of insult with patience. This age is a winter, she says: as trees bear fruit only after rain, we inherit the kingdom only through afflictions. The devil weighs down whoever would be still, but a monk who forced himself to the synaxis lost his fever. A teacher must be free of ambition, flattery, and anger; demons yield to humility alone; and a monk fleeing temptation finds the tempter going before him.

1 Ἠρώτησεν ἡ Ἀμμᾶς Θεοδώρα τὸν Πάπαν Θεόφιλον
asked — amma Theodora the Pope Theophilus
τὸ ῥητὸν τοῦ Ἀποστόλου, τὸ, Τί ἐστι τὸν καιρὸν
the saying of-the Apostle the(-word) what is-it the time
ἐξαγοραζόμενοι; Ὁ δὲ λέγει αὐτῇ· Ἡ ἐπωνυμία δεικνύει τὸ
redeeming he and says to-her the term shows the
κέρδος· οἷον, καιρὸς ὕβρεώς σοι πάρεστιν; ἀγόρασον
gain for-example (a)-time of-insult to-you is-present buy
τῇ ταπεινοφροσύνῃ καὶ μακροθυμίᾳ τὸν τῆς ὕβρεως
with-the humility and long-suffering the of-the insult
καιρὸν, καὶ ἕλκυσον κέρδος πρὸς ἑαυτόν· Καιρὸς ἀτιμίας;
time and draw (a)-gain to yourself (a)-time of-dishonor
τῇ ἀνεξικακίᾳ ἀγόρασον τὸν καιρὸν, καὶ κέρδησον. Καὶ
with-the forbearance buy the time and gain and
πάντα τὰ ἐναντία, ἐὰν θέλωμεν, κέρδη γίνονται ἡμῖν.
all the adverse(-things) if we-wish gains become for-us

2 Εἶπεν ἡ Ἀμμᾶς Θεοδώρα· Ἀγωνίσασθε εἰσελθεῖν διὰ
said — amma Theodora strive to-enter through
τῆς στενῆς πύλης. Ὃν τρόπον γὰρ τὰ δένδρα, ἐὰν μὴ
the narrow gate in-what manner for the trees unless —
λάβωσι χειμῶνας καὶ ὑετοὺς, καρποφορεῖν οὐ δύνανται·
they-receive winters and rains bear-fruit not they-can
οὕτως καὶ ἡμῖν, ὁ αἰὼν οὗτος χειμών ἐστι· καὶ ἐὰν μὴ
thus also for-us the age this winter is and unless —

διὰ πολλῶν θλίψεων καὶ πειρασμῶν, οὐ δυνησόμεθα τῆς
through many afflictions and temptations not we-shall-be-able of-the
βασιλείας τῶν οὐρανῶν γενέσθαι κληρονόμοι.
kingdom of-the heavens to-become heirs

Εἶπε πάλιν· Καλὸν τὸ ἡσυχάζειν· ἀνὴρ γὰρ φρόνιμος 3
she-said again good the to-be-still (a)-man for prudent
ἡσυχίαν ἄγει. Μέγα γὰρ ἀληθῶς παρθένῳ ἢ μοναχῷ,
stillness keeps great for truly for-(a)-virgin or for-(a)-monk
ἡσυχάζειν· μάλιστα δὲ τοῖς νέοις. Ἀλλὰ γίνωσκε, ὅτι
to-be-still most and for-the young but know that
προθῆται ἡσυχάσαι, εὐθέως ὁ πονηρὸς ἔρχεται καὶ βαρεῖ
one-purposes to-be-still at-once the evil-one comes and weighs-down
τὴν ψυχὴν, ἐν ἀκηδίαις, ἐν ὀλιγοψυχίαις, ἐν λογισμοῖς·
the soul with listlessness with faint-heartedness with thoughts
βαρεῖ καὶ τὸ σῶμα, ἐν ἀσθενείαις, ἐν ἀτονίᾳ, ἐν
he-weighs-down also the body with illnesses with slackness with
λύσει γονάτων καὶ ὅλων τῶν μελῶν, καὶ λύει τὴν
loosening of-knees and all the limbs and he-loosens the
δύναμιν τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ὅτι ἀσθενῶ καὶ
power of-the soul and of-the body and that I-am-ill and
οὐκ ἰσχύω βαλεῖν τὴν Σύναξιν. Ἀλλ' ἐὰν νήψωμεν, πάντα
not I-am-able to-make the synaxis but if we-be-sober all
ταῦτα διαλύονται. Ἦν γάρ τις μοναχός· καὶ ὡς
these(-things) are-dissolved there-was for a-certain monk and when
ἤρχετο βαλεῖν τὴν Σύναξιν, ἐλάμβανεν αὐτὸν ῥῖγος καὶ
he-came to-make the synaxis took him (a)-chill and
πυρετὸς, καὶ ἡ κεφαλὴ τόνῳ ὠχλεῖτο· καὶ οὕτως ἔλεγεν
(a)-fever and the head with-strain was-troubled and thus he-said
ἑαυτῷ, ὅτι Ἰδοὺ ἀσθενῶ, καὶ ἐνίοτε ἀποθνήσκω· ἐγερθῶ
to-himself that behold I-am-ill and perhaps I-die let-me-rise
οὖν πρὶν ἀποθάνω, καὶ βάλω τὴν σύναξιν. Καὶ τῷ
then before I-die and let-me-make the synaxis and by-the

λογισμῷ τούτῳ ἐβιάζετο ἑαυτὸν, καὶ ἔβαλε τὴν Σύναξιν.
thought this he-forced himself and made the synaxis
καὶ ὡς κατέπαυεν ἡ σύναξις, κατέπαυε καὶ ὁ πυρετός.
and when ended the synaxis ended also the fever
Καὶ πάλιν τούτῳ τῷ λογισμῷ ἀδελφὸς ἀνθέστηκε. καὶ
and again this the thought (a)-brother withstood and
ἔβαλε τὴν σύναξιν, καὶ ἐνίκησε τὸν λογισμόν.
made the synaxis and conquered the thought

4 Ἔλεγε πάλιν ἡ αὐτὴ Ἀμμᾶς Θεοδώρα, ὅτι Ποτέ τις
said again the same amma Theodora that once a-certain
εὐλαβὴς ὑβρίζετο παρὰ τινός· καὶ λέγει πρὸς αὐτόν·
devout(-man) was-insulted by someone and he-says to him
Ἠδυνάμην κἀγὼ τὰ ὅμοιά σοι λέγειν· ἀλλ᾽ ὁ νόμος
I-could I-too the like to-you say but the law
τοῦ Θεοῦ κλείει μου τὸ στόμα. Ἔλεγε δὲ καὶ τοῦτο,
— of-God shuts my the mouth she-said and also this
ὅτι Χριστιανός τις, μετὰ Μαννιχαίου διαλεγόμενος περὶ
that Christian a-certain with (a)-Manichaean disputing about
τοῦ σώματος, εἶπεν οὕτως· Δὸς τὸν νόμον τῷ σώματι,
the body said thus give the law to-the body
καὶ ὄψει τὸ σῶμα τῷ πλάσαντι.
and you-will-see the body to-the(-one) having-formed(-it)

5 Εἶπε πάλιν ἡ αὐτὴ, ὅτι ὁ διδάσκαλος ὀφείλει εἶναι ξένος
said again the same that the teacher ought to-be (a)-stranger
φιλαρχίας, καὶ ἀλλότριος κενοδοξίας, μακρὰν ὑπερηφανίας,
to-love-of-rule and alien to-vainglory far from-pride
μὴ ὑπὸ κολακείας ἐμπαιζόμενος, μὴ ὑπὸ δώρων τυφλούμενος,
not by flattery deceived not by gifts blinded
μὴ ὑπὸ γαστρὸς νικώμενος, μὴ ὑπὸ ὀργῆς κρατούμενος·
not by belly conquered not by anger mastered

ἀλλὰ μακρόθυμος, ἐπιεικὴς, πάσῃ δυνάμει ταπεινόφρων·
but long-suffering gentle with-all power humble-minded
ἔγκριτος εἶναι καὶ ἀνεκτικός· κηδεμονικὸς καὶ φιλόψυχος.
approved to-be and forbearing caring and soul-loving
Ἔλεγε πάλιν ἡ αὐτὴ, ὅτι οὐκ ἄσκησις, οὔτε ἀγρυπνία, 6
said again the same that not discipline nor vigil
οὔτε παντοῖος πόνος σώζει· εἰ μὴ γνησία ταπεινοφροσύνη.
nor every-kind-of labor saves if not genuine humility
Ἦν γάρ τις ἀναχωρητὴς ἀπελαύνων δαίμονας· καὶ
there-was for a-certain anchorite driving-out demons and
ἐξήταζεν αὐτούς· Ἐν τίνι ἐξέρχεσθε, ἐν νηστείᾳ; Καὶ
he-questioned them by what do-you-go-out by fasting and
ἔλεγον· Ἡμεῖς οὔτε ἐσθίομεν, οὔτε πίνομεν. Ἐν ἀγρυπνίᾳ;
they-said we neither eat nor drink by vigil
Καὶ ἔλεγον· Ἡμεῖς οὐ κοιμώμεθα. Ἐν ἀναχωρήσει; Ἡμεῖς
and they-said we not sleep by withdrawal we
εἰς τὰς ἐρήμους διάγομεν. Ἐν τίνι οὖν ἐξέρχεσθε; Καὶ
in the deserts live by what then do-you-go-out and
ἔλεγον, ὅτι Οὐδὲν ἡμᾶς νικᾷ, εἰ μὴ ταπεινοφροσύνη.
they-said that nothing us conquers if not humility
Ὁρᾷς ὅτι ἡ ταπεινοφροσύνη νικητήριόν ἐστι δαιμόνων;
you-see that the humility (the)-victory is over-demons
Εἶπε πάλιν ἡ Ἀμμᾶς Θεοδώρα, ὅτι Ἦν τις μοναχός· καὶ 7
said again — amma Theodora that there-was a-certain monk and
ἀπὸ πλήθους τῶν πειρασμῶν λέγει· Ὑπάγω ἔνθεν. Καὶ ὡς
from (the)-multitude of-the temptations he-says I-go from-here and when
ἔβαλεν ἑαυτοῦ τὰ σανδάλια, ὁρᾷ ἄνθρωπον ἄλλον βάλλοντα
he-put-on his-own the sandals he-sees (a)-man another putting-on
καὶ αὐτὸν τὰ σανδάλια αὐτοῦ, καὶ λέγοντα αὐτῷ· Οὐ
also himself the sandals his and saying to-him not
δι' ἐμὲ ἐξέρχῃ; ἰδοὺ ἐγώ σε προάγω ὅπου ἐὰν ἀπέρχῃ.
because-of me do-you-go-out behold I you go-before where — you-go-away

John the Dwarf waters a dry stick three years until it bears the fruit of obedience, and learns from his brother, who will not open to an angel, that a man must work to eat. He flees anger, accepts a priest's cup so that the priest has his reward, and tells parables of slander and of the soul as a harlot who shuts out her lovers. Freed of his passions, he prays for the war again, and shows a forgetful old man a lamp that lights others and loses nothing.

1 Διηγήσαντο περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ κολοβοῦ, ὅτι
they-related about — abba John the dwarf that
ἀναχωρήσας πρὸς Θηβαῖον γέροντα εἰς Σκῆτιν, ἐκάθητο
having-withdrawn to (a)-Theban old-man in Scetis he-sat
ἐν τῇ ἐρήμῳ. Λαβὼν δὲ ὁ ἀββᾶς αὐτοῦ ξύλον ξηρὸν,
in the desert having-taken and the abba his (a)-stick dry
ἐφύτευσε καὶ εἶπεν αὐτῷ· Καθ' ἡμέραν πότιζε τοῦτο
planted-it and said to-him each day water this
λαγύνιον ὕδατος, ἕως καρπὸν ποιήσει. Ἦν δὲ μακρὰν ἀπ'
(with-a)-flask of-water until fruit it-make was and far from
αὐτῶν τὸ ὕδωρ, ὡς ἀπὸ ὀψὲ ἀπελθεῖν καὶ ἐλθεῖν πρωΐ.
them the water so-that from evening to-go-away and to-come at-dawn
Μετὰ δὲ τρία ἔτη, ἔζησε καὶ καρπὸν ἐποίησε· καὶ λαβὼν
after and three years it-lived and fruit made and having-taken
ὁ γέρων τὸν καρπὸν αὐτοῦ, ἤνεγκεν εἰς τὴν ἐκκλησίαν,
the old-man the fruit its he-brought-it to the church
λέγων τοῖς ἀδελφοῖς· Λάβετε, φάγετε καρπὸν ὑπακοῆς.
saying to-the brothers take eat (the)-fruit of-obedience

2 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ κολοβοῦ, ὅτι εἶπέ
they-said about — abba John the dwarf that he-said
ποτε τῷ ἀδελφῷ αὐτοῦ τῷ μειζοτέρῳ· Ἤθελον ἀμέριμνος
once to-the brother his the elder I-wished carefree
εἶναι, ὡς οἱ ἄγγελοι ἀμέριμνοί εἰσι, μηδὲν ἐργαζόμενοι,
to-be as the angels carefree are nothing working

ἀλλ᾽ ἀδιαλείπτως λατρεύοντες τῷ Θεῷ. Καὶ ἀποδυσάμενος
but unceasingly serving — God and having-stripped-off
τὸ ἱμάτιον, ἐξῆλθεν εἰς τὴν ἔρημον· καὶ ποιήσας ἑβδομάδα
the garment he-went-out into the desert and having-spent week
μίαν, ἀνέκαμψε πρὸς τὸν ἀδελφὸν αὐτοῦ. Καὶ ὡς ἔκρουσε
one he-returned to the brother his and when he-knocked-on
τὴν θύραν, ὑπήκουσεν αὐτῷ πρὶν ἀνοίξει, λέγων· Σὺ τίς
the door he-answered him before opening saying you who
εἶ; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰωάννης ὁ ἀδελφός σου.
are-you he and said I am John the brother your
Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ἰωάννης γέγονεν ἄγγελος,
and answering he-said to-him John has-become (an)-angel
καὶ οὐκ ἔτι ἐν ἀνθρώποις ἐστίν. Ὁ δὲ παρεκάλει,
and not any-longer among men he-is he and besought
λέγων· Ἐγώ εἰμι. Καὶ οὐκ ἤνοιξεν αὐτῷ, ἀλλ᾽ ἀφῆκεν
saying I am(-he) and not he-opened to-him but left
αὐτὸν ἕως πρωΐ θλίβεσθαι· ὕστερον δὲ ἀνοίξας αὐτῷ,
him until dawn to-be-afflicted later and having-opened to-him
λέγει· Ἄνθρωπος εἶ, χρείαν ἔχεις πάλιν ἐργάζεσθαι ἵνα
he-says (a)-man you-are need you-have again to-work so-that
τραφῇς. Καὶ ἔβαλε μετάνοιαν, λέγων· Συγχώρησόν μοι.
you-may-be-fed and he-made penitence saying forgive me
Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὁ κολοβὸς, ὅτι ἐὰν θελήσῃ 3
said — abba John the dwarf that if wish
βασιλεὺς πόλιν παραλαβεῖν ἐχθρῶν, τὸ ὕδωρ πρῶτον
(a)-king (a)-city to-take of-enemies the water first
κρατεῖ καὶ τὴν τροφὴν, καὶ οὕτως οἱ ἐχθροὶ ἐκ τοῦ
he-seizes and the food and thus the enemies from the
λιμοῦ ἀπολλύμενοι ὑποτάσσονται αὐτῷ. Οὕτως καὶ τὰ
famine perishing submit to-him thus also the

πάθη τῆς σαρκός· ἐὰν ἐν νηστείᾳ καὶ λιμῷ πολιτεύσηται
passions of-the flesh if in fasting and hunger live
ἄνθρωπος, οἱ ἐχθροὶ ἐξασθενοῦσιν ἀπὸ τῆς ψυχῆς αὐτοῦ.
(a)-man the enemies grow-weak from the soul his
4 Εἶπε πάλιν, ὅτι ὁ χορταζόμενος καὶ λαλῶν μετὰ
he-said again that the(-one) being-filled and talking with
παιδίου, ἤδη ἐπόρνευσε τῷ λογισμῷ μετ᾽ αὐτοῦ.
(a)-boy already has-fornicated in-the thought with him
5 Εἶπε πάλιν, ὅτι Ἀνερχόμενός ποτε τὴν ὁδὸν τῆς Σκήτεως
he-said again that going-up once the road — of-Scetis
μετὰ τῆς σειρᾶς, εἶδον τὸν καμηλίτην λαλοῦντα, καὶ
with the rope I-saw the camel-driver talking and
κινοῦντά με εἰς ὀργήν· καὶ ἐάσας τὰ σκεύη, ἔφυγον.
moving me to anger and having-left the goods I-fled
6 Ἄλλοτε πάλιν εἰς τὸ θέρος, ἤκουσεν ἀδελφοῦ λαλοῦντος
another-time again at the harvest he-heard (a)-brother talking
τῷ πλησίον μετ᾽ ὀργῆς, καὶ λέγοντος, Αἲ, καὶ σύ; Καὶ
to-the neighbor with anger and saying ah also you and
ἐάσας τὸν θερισμὸν, ἔφυγεν.
having-left the harvest he-fled
7 Εὐκαίρησάν τινες γέροντες εἰς Σκῆτιν ἐσθίοντες μετ᾽
happened-to-be some old-men in Scetis eating with
ἀλλήλων· ἦν δὲ μετ᾽ αὐτῶν καὶ ὁ ἀββᾶς Ἰωάννης. Καὶ
each-other was and with them also — abba John and
ἀνέστη τις πρεσβύτερος μέγας δοῦναι τὸ καυκάλιον
rose a-certain priest great to-give the cup
τοῦ νεροῦ· καὶ οὐδεὶς κατεδέξατο λαβεῖν αὐτὸ παρ᾽ αὐτοῦ,
of-the water and no-one consented to-take it from him
εἰ μὴ μόνος Ἰωάννης ὁ κολοβός. Ἐθαύμασαν οὖν, καὶ
if not alone John the dwarf they-marveled then and
εἶπον αὐτῷ· Πῶς σὺ μικρότερος ὅλως ὢν, ἐτόλμησας
said to-him how you younger altogether being dared

ὑπηρετηθῆναι παρὰ τοῦ πρεσβυτέρου; Καὶ λέγει αὐτοῖς·
to-be-served by the priest and he-says to-them
Ἐγὼ ὅτε ἐγείρομαι δοῦναι τὸ βαυκάλιον, χαίρω ἐὰν πάντες
I when I-rise to-give the flask I-rejoice if all
λάβωσιν, ἵνα ἔχω μισθόν· κἀγὼ οὖν διὰ τοῦτο
take so-that I-may-have (a)-wage and-I then because-of this
ἐδεξάμην, ἵνα ποιήσω αὐτῷ μισθόν· μήπως λυπηθῇ, ὡς
accepted so-that I-might-make for-him (a)-wage lest he-be-grieved as
μηδενὸς δεξαμένου παρ' αὐτοῦ. Καὶ ταῦτα αὐτοῦ εἰπόντος,
no-one having-accepted from him and these(-things) be having-said
ἐθαύμασαν, καὶ ὠφελήθησαν ἐπὶ τῇ διακρίσει αὐτοῦ.
they-marveled and were-benefited at the discernment his
Καθημένου αὐτοῦ ποτε ἔμπροσθεν τῆς ἐκκλησίας, ἐκύκλωσαν 8
sitting him once before the church surrounded
αὐτὸν οἱ ἀδελφοὶ, καὶ ἐξήταζον αὐτὸν τοὺς λογισμοὺς
him the brothers and questioned him (about)-the thoughts
αὐτῶν. Καὶ ἰδών τις τῶν γερόντων, καὶ πολεμηθεὶς
their and having-seen(-it) one of-the old-men and having-been-warred-on
εἰς φθόνον, λέγει αὐτῷ· Τὸ βαυκάλιόν σου, Ἰωάννη,
into envy he-says to-him the flask your John
φάρμακον γέμει. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἰωάννης· Οὕτως
poison is-full-of says to-him — abba John thus
ἐστὶν, ἀββᾶ· καὶ τοῦτο εἶπας, ὅτι τὰ ἔξω βλέπεις
it-is abba and this you-said because the(-things) outside you-see
μόνον· εἰ δὲ ἔβλεπες τὰ ἔσω, τί εἶχες εἰπεῖν;
only if but you-saw the(-things) inside what would-you-have to-say
Ἔλεγον οἱ Πατέρες, ὅτι ἐσθιόντων ποτὲ τῶν ἀδελφῶν 9
said the Fathers that eating once the brothers
ἐν ἀγάπῃ, ἐγέλασεν εἷς ἀδελφὸς ἐπὶ τῆς τραπέζης. Καὶ
at (an)-agape laughed one brother at the table and
ἰδὼν αὐτὸν ὁ ἀββᾶς Ἰωάννης, ἔκλαυσε, λέγων· Τί
having-seen him — abba John wept saying what

ἄρα ἔχει ὁ ἀδελφὸς οὗτος ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι
then has the brother this in the heart his that
ἐγέλασεν, ὀφείλων μᾶλλον κλαῦσαι, ὅτι ἀγάπην ἐσθίει;
he-laughed owing rather to-weep because (an)-agape he-eats

10 Ἦλθόν ποτέ τινες τῶν ἀδελφῶν πειράσαι αὐτόν· ὅτι οὐκ
came once some of-the brothers to-test him because not
ἤφιε τὸν λογισμὸν αὐτοῦ ῥεμβασθῆναι, οὐδὲ ἐλάλει πρᾶγμα
he-let the thought his to-wander nor spoke (a)-matter
τοῦ αἰῶνος τούτου· καὶ λέγουσιν αὐτῷ· Εὐχαριστοῦμεν τῷ
of-the age this and they-say to-him we-give-thanks —
Θεῷ, ὅτι ἔβρεξεν ἐπ᾽ ἔτος πολλὰ, καὶ ἔπιον οἱ φοίνικες,
to-God that it-rained in year much and drank the palms
καὶ ἐκβάλλουσι λευκάδας, καὶ εὑρίσκουσιν οἱ ἀδελφοὶ τὸ
and they-put-forth shoots and find the brothers the
ἐργόχειρον αὐτῶν. Λέγει αὐτοῖς ὁ ἀββᾶς Ἰωάννης· Οὕτως
handiwork their says to-them — abba John thus
ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον· ὅταν καταβῇ εἰς τὰς καρδίας
is the Spirit the holy when it-comes-down into the hearts
τῶν ἀνθρώπων, ἀνανεοῦνται, καὶ ἐκβάλλουσι λευκάδας ἐν
of-the men they-are-renewed and they-put-forth shoots in
τῷ φόβῳ τοῦ Θεοῦ.
the fear — of-God

11 Ἔλεγον περὶ αὐτοῦ, ὅτι ἔπλεξέ ποτε σειρὰν δύο
they-said about him that he-plaited once (a)-rope (for)-two
σπυρίδων, καὶ ἔῤῥαψεν αὐτὴν μίαν σπυρίδα, καὶ οὐκ
baskets and sewed it (into)-one basket and not
ἐνόησεν, ἕως προσήγγισε τῷ τοίχῳ. Ἦν γὰρ ὁ λογισμὸς
he-noticed until he-came-near to-the wall was for the thought
αὐτοῦ σχολάζων τῇ θεωρίᾳ.
his occupied with-the contemplation

Εἶπεν ὁ ἀββᾶς Ἰωάννης, ὅτι Ὅμοιός εἰμι ἀνθρώπῳ 12
said — abba John that like I-am to-(a)-man
καθημένῳ ὑποκάτω δένδρου μεγάλου, καὶ θεωροῦντι θηρία
sitting beneath (a)-tree great and beholding beasts
πολλὰ καὶ ἑρπετὰ ἐρχόμενα πρὸς αὐτόν· καὶ ὅταν μὴ
many and reptiles coming toward him and when not
δυνηθῇ στῆναι κατ᾽ αὐτῶν, τρέχει ἄνω εἰς τὸ δένδρον,
he-be-able to-stand against them he-runs up into the tree
καὶ σώζεται. Οὕτως κἀγώ· καθέζομαι ἐν τῷ κελλίῳ μου,
and is-saved thus I-too I-sit in the cell my
καὶ θεωρῶ τοὺς πονηροὺς λογισμοὺς ἐπάνω μου· καὶ ὅτε
and I-behold the evil thoughts upon me and when
μὴ ἰσχύσω πρὸς αὐτούς, καταφεύγω πρὸς τὸν Θεὸν διὰ
not I-am-strong against them I-flee-for-refuge to — God through
τῆς προσευχῆς, καὶ σώζομαι ἐκ τοῦ ἐχθροῦ.
the prayer and I-am-saved from the enemy

Εἶπεν ὁ ἀββᾶς Ποιμὴν περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ κολοβοῦ, 13
said — abba Poemen about — abba John the dwarf
ὅτι παρεκάλεσε τὸν Θεὸν, καὶ ἤρθη τὰ πάθη ἀπ᾽
that he-besought — God and were-taken-away the passions from
αὐτοῦ, καὶ γέγονεν ἀμέριμνος. Καὶ ἀπελθὼν, εἶπέ τινι
him and he-became carefree and having-gone-away he-said to-a-certain
γέροντι· Ὁρῶ ἐμαυτὸν ἀναπαύμενον, καὶ μηδένα πόλεμον
old-man I-see myself at-rest and no war
ἔχοντα. Καὶ λέγει αὐτῷ ὁ γέρων· Ὕπαγε, παρακάλεσον
having and says to-him the old-man go beseech
τὸν Θεὸν, ὥστε τὸν πόλεμόν σοι ἐλθεῖν, καὶ ἦν εἶχες
— God so-that the war to-you come and which you-had
πρότερον συντριβὴν καὶ ταπείνωσιν· διὰ γὰρ τῶν πολέμων
before contrition and humility through for the wars
προκόπτει ἡ ψυχή. Παρεκάλεσεν οὖν, καὶ ἐλθόντος τοῦ
advances the soul he-besought then and having-come the

πολέμου, οὐκ ἔτι εὔξατο ἀρθῆναι αὐτὸν ἀπ᾽ αὐτοῦ,
war not any-longer he-prayed to-be-taken-away it from him
ἀλλ᾽ ἔλεγε· Δός μοι, Κύριε, ὑπομονὴν ἐν τοῖς πολέμοις.
but he-said give me Lord endurance in the wars

14 Εἶπεν ὁ ἀββᾶς Ἰωάννης, ὅτι εἶδέ τις τῶν γερόντων
said — abba John that saw one of-the old-men
ἐν ἐκστάσει· Καὶ ἰδοὺ τρεῖς μοναχοὶ ἕστηκαν πέραν τῆς
in (an)-ecstasy and behold three monks stood beyond the
θαλάσσης· καὶ ἐγένετο φωνὴ πρὸς αὐτοὺς ἐκ τοῦ ἄλλου
sea and came (a)-voice to them from the other
πέραν, λέγουσα· Λάβετε πτερὰ πυρὸς, καὶ δεῦτε πρὸς μέ.
side saying take wings of-fire and come to me
Καὶ οἱ μὲν δύο ἔλαβον, καὶ ἐπετάσθησαν εἰς τὸ ἄλλο πέραν·
and the indeed two took and flew to the other side
ὁ δὲ ἄλλος ἔμεινε, καὶ ἔκλαιε σφόδρα καὶ ἔκραζεν. Ὕστερον
the but other remained and wept greatly and cried-out later
δὲ ἐδόθησαν καὶ αὐτῷ πτερὰ, οὐ μέντοι πυρὸς, ἀλλ᾽
and were-given also to-him wings not however of-fire but
ἀσθενῆ καὶ ἀδύναμα· καὶ μετὰ καμάτου καταποντιζόμενος
weak and powerless and with toil sinking
καὶ ἀνιστάμενος, μετὰ θλίψεως πολλῆς ἦλθεν εἰς τὸ πέραν.
and rising with affliction much he-came to the other-side
Οὕτως καὶ ἡ γενεὰ αὕτη, εἰ καὶ λαμβάνει πτερὰ, οὐ
thus also the generation this if even it-receives wings not
μέντοι πυρὸς, ἀλλὰ μόλις ἀσθενῆ καὶ ἀδύναμα λαμβάνει.
however of-fire but barely weak and powerless it-receives

15 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἰωάννην, λέγων· Πῶς ἡ
(a)-brother asked — abba John saying how the
ψυχή μου ἔχουσα τραύματα, οὐκ αἰσχύνεται καταλαλεῖν
soul my having wounds not is-ashamed to-slander
τοῦ πλησίον; Λέγει αὐτῷ ὁ γέρων παραβολὴν διὰ
the neighbor says to-him the old-man (a)-parable about

τὴν καταλαλιάν· Ἄνθρωπός τις ἦν πτωχὸς, καὶ εἶχε
the slander man a-certain was poor and he-had
γυναῖκα· εἶδε δὲ καὶ ἄλλην πειθανὴν, καὶ ἔλαβε ταύτην·
(a)-wife he-saw and also another attractive and took her
ἦσαν δὲ ἀμφότεραι γυμναί. Γενομένης δὲ πανηγύρεως
were and both naked having-been-held and (a)-festival
ἐν τινὶ τόπῳ, παρεκάλεσαν αὐτὸν λέγουσαι· Ἆρον ἡμᾶς
in some place they-besought him saying take us
μετὰ σοῦ. Καὶ λαβὼν τὰς δύο, ἔβαλεν εἰς πίθον· καὶ
with you and having-taken the two he-put-them into (a)-jar and
ἐμβὰς εἰς πλοῖον, ἦλθεν εἰς τὸν τόπον. Ὅτε δὲ
having-embarked on (a)-boat he-came to the place when and
γέγονε καῦμα, καὶ ἡσύχασαν οἱ ἄνθρωποι, ἀναβλέψασα
it-became heat and were-quiet the men having-looked-up
ἡ μία, καὶ μηδένα ἰδοῦσα, ἐξεπήδησεν εἰς τὴν κοπρίαν,
the one and no-one having-seen leaped-out onto the dung-heap
καὶ συνάξασα παλαιὰ ῥάκη, ἐποίησεν ἑαυτῇ περίζωμα,
and having-gathered old rags made for-herself (a)-loincloth
καὶ λοιπὸν μετὰ παῤῥησίας περιεπάτει. Ἡ δὲ ἄλλη
and thereafter with boldness walked-about the and other
ἔσω καθημένη γυμνὴ, ἔλεγεν· Ἰδοὺ αὕτη ἡ πόρνη οὐκ
inside sitting naked said behold this the harlot not
αἰσχύνεται περιπατοῦσα γυμνή. Διαπονηθεὶς δὲ ὁ ἀνὴρ
is-ashamed walking-about naked vexed and the husband
αὐτῆς εἶπεν· Ὦ θαῦμα· αὕτη κἂν σκέπει τὴν ἀσχημοσύνην
her said O marvel she at-least covers the shame
αὐτῆς· σὺ δὲ ὅλη γυμνὴ εἶ, καὶ ταῦτα οὐκ αἰσχύνῃ
her you but wholly naked are and these(-things) not are-you-ashamed
λαλοῦσα; Οὕτως ἐστὶ καὶ τὸ τῆς καταλαλιᾶς.
speaking thus is also the(-matter) of-the slander

16 Ἔλεγε δὲ πάλιν τῷ ἀδελφῷ ὁ γέρων περὶ τῆς ψυχῆς
he-told and again to-the brother the old-man about the soul
τῆς θελούσης μετανοῆσαι· Πόρνη ἦν ὡραία ἐν τινὶ
the wishing to-repent (a)-harlot there-was beautiful in some
πόλει, καὶ πολλοὺς φίλους εἶχεν. Ἐλθὼν δὲ πρὸς αὐτὴν
city and many lovers she-had having-come and to her
εἷς ἄρχων, εἶπεν αὐτῇ· Σύνθου μοι σωφρονεῖν, κἀγώ σε
one ruler said to-her agree with-me to-be-chaste and-I you
λαμβάνω εἰς γυναῖκα. Ἡ δὲ συνέθετο αὐτῷ. Καὶ λαβὼν
take as wife she and agreed with-him and having-taken
αὐτὴν ἀπήγαγεν εἰς τὸν οἶκον αὐτοῦ. Οἱ δὲ φίλοι αὐτῆς,
her he-led into the house his the and lovers her
ζητοῦντες αὐτὴν, ἔλεγον· Ὁ δεῖνα ὁ ἄρχων ἔλαβεν αὐτὴν
seeking her said the so-and-so the ruler took her
εἰς τὸν οἶκον αὐτοῦ· ἐὰν οὖν ἀπέλθωμεν εἰς τὸν οἶκον
into the house his if then we-go-away to the house
αὐτοῦ, καὶ μάθῃ, τιμωρεῖται ἡμᾶς. Ἀλλὰ δεῦτε ὀπίσω τῆς
his and he-learn he-punishes us but come behind the
οἰκίας, καὶ συρίσωμεν αὐτῇ· καὶ γνωρίζουσα τὴν φωνὴν
house and let-us-whistle to-her and recognizing the sound
τοῦ συριγμοῦ, καταβαίνει πρὸς ἡμᾶς, καὶ ἡμεῖς ἀναίτιοι
of-the whistle she-comes-down to us and we blameless
εὑρισκόμεθα. Ἀκούσασα οὖν τοῦ συριγμοῦ, ἐσφράγισε τὰ
are-found having-heard then the whistle she-sealed the
ὦτα αὐτῆς, καὶ εἰσεπήδησεν εἰς τὸν ἐνδότερον κοιτῶνα, καὶ
ears her and leaped-in into the inner bedchamber and
ἔκλεισε τὰς θύρας. Ἔλεγε δὲ, τὴν πόρνην εἶναι τὴν ψυχήν·
shut the doors he-said and the harlot to-be the soul
οἱ δὲ φίλοι αὐτῆς εἰσι τὰ πάθη καὶ οἱ ἄνθρωποι· ὁ δὲ
the and lovers her are the passions and the men the and
ἄρχων ἐστὶν ὁ Χριστός· ἡ δὲ οἰκία ἡ ἐσωτέρα ἐστὶν ἡ
ruler is — Christ the and house the inner is the

αἰωνία μονή. Οἱ δὲ συρίζοντες αὐτῇ εἰσιν οἱ πονηροὶ
eternal dwelling the(-ones) and whistling to-her are the evil
δαίμονες· αὐτὴ δὲ διαπαντὸς φεύγει πρὸς τὸν Κύριον.
demons she and continually flees to the Lord
Ἀναβαίνοντός ποτε τοῦ ἀββᾶ Ἰωάννου ἀπὸ Σκήτεως μετ' 17
going-up once — abba John from Scetis with
ἄλλων ἀδελφῶν, ἐπλανήθη ὁ ὁδηγῶν αὐτούς· ἦν
other brothers strayed the(-one) guiding them it-was
γὰρ νύξ. Καὶ λέγουσιν οἱ ἀδελφοὶ τῷ ἀββᾶ Ἰωάννῃ· Τί
for night and say the brothers — to-abba John what
ποιήσομεν, ἀββᾶ, ὅτι ἐπλανήθη ὁ ἀδελφὸς τὴν ὁδὸν, μήπως
shall-we-do abba for strayed-from the brother the road lest
ἀποθάνωμεν πλανώμενοι; Λέγει αὐτοῖς ὁ γέρων· Ἐὰν
we-die wandering says to-them the old-man if
εἴπωμεν αὐτῷ, λυπεῖται καὶ αἰσχύνεται. Ἀλλ' ἰδοὺ ποιῶ
we-tell him he-is-grieved and is-ashamed but behold I-make
ἐμαυτὸν ἀσθενοῦντα, καὶ λέγω, Οὐ δύναμαι ὁδεῦσαι, ἀλλὰ
myself sick and I-say not I-can journey but
μένω ὧδε ἕως πρωΐ. Καὶ ἐποίησεν οὕτως. Οἱ δὲ λοιποὶ
I-stay here until dawn and he-did thus the and others
εἶπον· Οὐδὲ ἡμεῖς ὑπάγομεν, ἀλλὰ καθήμεθα μετὰ σοῦ. Καὶ
said not-even we go but we-sit with you and
ἐκάθισαν ἕως πρωΐ· καὶ τὸν ἀδελφὸν οὐκ ἐσκανδάλισαν.
they-sat until dawn and the brother not they-scandalized
Γέρων τις ἦν ἐν Σκήτει, πονικὸς μὲν ἐν τῷ σωματικῷ, 18
old-man a-certain was in Scetis toiling indeed in the bodily
οὐκ ἀκριβὴς δὲ ἐν τοῖς λογισμοῖς. Ἀπῆλθεν οὖν πρὸς τὸν
not exact but in the thoughts he-went-away then to —
ἀββᾶν Ἰωάννην, ἐρωτῆσαι αὐτὸν περὶ τῆς λήθης· καὶ
abba John to-ask him about the forgetfulness and
ἀκούσας παρ' αὐτοῦ λόγον, ὑπέστρεψεν εἰς τὴν κέλλαν
having-heard from him (a)-word he-returned to the cell

αὐτοῦ, καὶ ἐπελάθετο ὃ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ἰωάννης.
his and forgot what said to-him — abba John
Καὶ ἀπῆλθε πάλιν ἐρωτῆσαι αὐτόν· ἀκούσας δὲ παρ᾽
and he-went-away again to-ask him having-heard and from
αὐτοῦ ὁμοίως τὸν λόγον, ὑπέστρεψεν. Ὡς δὲ ἔφθασε τὸ
him likewise the word he-returned when but he-reached the
ἴδιον κελλίον πάλιν ἐπελάθετο, καὶ οὕτω δὲ πλειστάκις
his-own cell again he-forgot also thus and very-often
ἀπερχόμενος, ἐν τῷ ὑποστρέφειν κατακυριεύετο ὑπὸ τῆς
going-away in the to-return he-was-overpowered by the
λήθης. Μετὰ δὲ ταῦτα ἀπαντήσας τῷ γέροντι, εἶπεν·
forgetfulness after and these(-things) having-met the old-man he-said
Οἶδας, ἀββᾶ, ὅτι ἐπελαθόμην πάλιν ὅ μοι εἴρηκας;
do-you-know abba that I-forgot again what to-me you-have-told
ἀλλ᾽ ἵνα μὴ ὀχλήσω σοι, οὐκ ἦλθον Λέγει αὐτῷ ὁ
but so-that not I-trouble you not I-came says to-him —
ἀββᾶς Ἰωάννης· Ὕπαγε, ἅψον λύχνον. Καὶ ἧψεν. Εἶπε
abba John go light (a)-lamp and he-lit-it he-said
καὶ αὐτῷ πάλιν· Φέρε ἄλλους λύχνους, καὶ ἅψον ἐξ
and to-him again bring other lamps and light-them from
αὐτοῦ. Ἐποίησε δὲ ὁμοίως. Καὶ εἶπεν ἀββᾶς Ἰωάννης τῷ
it he-did and likewise and said abba John to-the
γέροντι· Μή τί ποτε ἐβλάβη ὁ λύχνος, ὅτι ἀνῆψας
old-man not something ever was-harmed the lamp because you-lit
ἐξ αὐτοῦ τοὺς ἄλλους λύχνους; Λέγει· Οὐχί. Εἶπε δὲ ὁ
from it the other lamps he-says no said and the
γέρων· Οὕτως οὐδὲ Ἰωάννης· ἐὰν ἡ Σκῆτις ἔρχηται πρὸς
old-man thus not-even John if — Scetis come to
μὲ ὅλη, οὐ μή με ἐμποδίσει ἀπὸ τῆς χάριτος τοῦ Χριστοῦ.
me whole not — me it-will-hinder from the grace — of-Christ
Τοίνυν, ὅτε θέλεις, ἔρχου, μηδὲν διακρινόμενος. Καὶ οὕτω
therefore whenever you-wish come nothing hesitating and thus

διʼ ὑπομονῆς ἀμφοτέρων, ἦρε τὴν λήθην ὁ Θεὸς
through endurance of-both took-away the forgetfulness — God
ἀπὸ τοῦ γέροντος. Αὕτη δὲ ἦν ἐργασία τῶν Σκητιωτῶν,
from the old-man this and was (the)-work of-the Scetiotes
διδόναι προθυμίαν τοῖς πολεμουμένοις· καὶ βιαζομένους
to-give eagerness to-those being-warred-on and forcing
ἑαυτοὺς εἰς τὸ κερδῆσαι ἀλλήλους εἰς τὸ ἀγαθόν.
themselves to the to-gain each-other into the good
Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ἰωάννην, λέγων· Τί ποιήσω; 19
asked (a)-brother — abba John saying what shall-I-do
ὅτι πολλάκις ἔρχεται ἀδελφὸς λαβεῖν με εἰς ἔργον, καὶ ἐγὼ
for often comes (a)-brother to-take me to work and I
ταλαίπωρός εἰμι καὶ ἀσθενὴς, καὶ κοπιῶ εἰς τὸ πρᾶγμα·
wretched am and weak and I-toil at the matter
τί οὖν ποιήσω διὰ τὴν ἐντολήν; Καὶ ἀποκριθεὶς ὁ γέρων
what then shall-I-do for the commandment and answering the old-man
εἶπε· Χάλεβ εἶπε τῷ Ἰησοῦ υἱῷ Ναυῆ· Τεσσαράκοντα ἐτῶν
said Caleb said — to-Joshua son of-Nave forty years-old
ἤμην, ὅτε ἀπέστειλε Μωϋσῆς ὁ δοῦλος Κυρίου ἐκ τῆς
I-was when sent Moses the servant of-(the)-Lord from the
ἐρήμου ἐμὲ καὶ σὲ εἰς τὴν γῆν ταύτην· καὶ νῦν εἰμι ἐτῶν
desert me and you into the land this and now I-am years-old
ὀγδοήκοντα πέντε. Ὡς τότε ἤμην, καὶ νῦν ἰσχύω εἰσελθεῖν
eighty five as then I-was also now I-am-strong to-go-in
καὶ ἐξελθεῖν εἰς τὸν πόλεμον· ὥστε οὖν καὶ σὺ, εἰ δύνασαι ἵνα
and to-go-out to the war so then also you if you-can that
ὡς ἐξέρχῃ οὕτως καὶ εἰσέρχῃ, ὕπαγε· εἰ δὲ οὐ δύνασαι οὕτως
as you-go-out thus also you-come-in go if but not you-can thus
ποιῆσαι, κάθου εἰς τὸ κελλίον σου κλαίων τὰς ἁμαρτίας σου·
do sit in the cell your weeping-for the sins your
καὶ ἐὰν εὕρωσί σε πενθοῦντα, οὐκ ἀναγκάζουσί σε ἐξελθεῖν.
and if they-find you mourning not they-compel you to-go-out

John the Dwarf says humility sold Joseph and made him governor, and that we have left the light burden of self-blame for the heavy one of self-justification. He walks three times around his cell to cleanse his ears of a dispute, forgets the baskets and the camel's rope in contemplation, and lays down a rule of every virtue to be begun each dawn. He weeps for the harlot Paesia, who follows him into the desert and dies that night, her single hour of repentance accepted.

20 Εἶπεν ὁ ἀββᾶς Ἰωάννης· Τίς πέπρακε τὸν Ἰωσήφ; Καὶ
said — abba John who sold — Joseph and
ἀπεκρίθη τις ἀδελφὸς, λέγων· Οἱ ἀδελφοὶ αὐτοῦ. Λέγει
answered a-certain brother saying the brothers his says
αὐτῷ ὁ γέρων· Οὐχί· ἀλλ' ἡ ταπείνωσις αὐτοῦ πέπρακεν
to-him the old-man no but the humility his sold
αὐτόν. Ἠδύνατο γὰρ εἰπεῖν, ὅτι Ἀδελφὸς αὐτῶν εἰμι, καὶ
him he-could for say that (a)-brother their I-am and
ἀντιλέξαι· ἀλλὰ σιωπῶν, τῇ ταπεινώσει ἑαυτὸν πέπρακε·
to-object but being-silent by-the humility himself he-sold
καὶ ἡ ταπείνωσις κατέστησεν αὐτὸν ἡγούμενον εἰς Αἴγυπτον.
and the humility established him governor in Egypt

21 Εἶπεν ὁ ἀββᾶς Ἰωάννης· Τὸ ἐλαφρὸν φορτίον ἐάσαντες,
said — abba John the light burden having-left
τουτέστι τὸ ἑαυτοὺς μέμφεσθαι, τὸ βαρὺ ἐβαστάσαμεν,
that-is the ourselves to-blame the heavy we-carried
τουτέστι τὸ δικαιοῦν ἑαυτούς.
that-is the to-justify ourselves

22 Ὁ αὐτὸς εἶπεν· Ἡ ταπεινοφροσύνη καὶ ὁ φόβος τοῦ
the same said the humility and the fear —
Θεοῦ, ὑπεράνω εἰσὶ πασῶν τῶν ἀρετῶν.
of-God above are all the virtues

Ὁ αὐτὸς ἐκάθητό ποτε εἰς τὴν ἐκκλησίαν, καὶ ἐστέναξεν, 23
the same sat once in the church and groaned
ἀγνοῶν ὅτι ἐστί τις ὄπισθεν αὐτοῦ. Γνοὺς οὖν,
not-knowing that there-is someone behind him having-known then
ἔβαλε μετάνοιαν, λέγων· Συγχώρησόν μοι, ἀββᾶ· οὔπω
he-made penitence saying forgive me abba not-yet
γὰρ κατηχήθην.
for I-have-been-instructed

Ὁ αὐτὸς ἔλεγε τῷ μαθητῇ αὐτοῦ· Τιμήσωμεν τὸν ἕνα, 24
the same said to-the disciple his let-us-honor the one
καὶ πάντες τιμῶσιν ἡμᾶς· ἐὰν δὲ καταφρονήσωμεν τοῦ
and all honor us if but we-despise the
ἑνὸς, ὅς ἐστι Θεὸς, καταφρονοῦσιν ἡμῶν πάντες, καὶ εἰς
one who is God despise us all and to
ἀπώλειαν ὑπάγομεν.
destruction we-go

Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου, ὅτι ἦλθεν εἰς τὴν 25
they-said about — abba John that he-came to the
ἐκκλησίαν εἰς Σκῆτιν· καὶ ἀκούσας ἀντιλογίας τινῶν
church in Scetis and having-heard dispute of-some
ἀδελφῶν, ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ· καὶ κυκλεύσας
brothers he-returned to the cell his and having-circled
αὐτὴν τρίτον, οὕτως εἰσῆλθεν. Ἀδελφοὶ δέ τινες ἰδόντες
it three-times thus he-went-in brothers and some having-seen
αὐτὸν, ἠπόρησαν διατί τοῦτο ἐποίησε, καὶ ἐλθόντες ἠρώτων
him were-perplexed why this he-did and having-come they-asked
αὐτόν. Ὁ δὲ λέγει αὐτοῖς· Τὰ ὦτά μου εἶχον ἀπὸ τῆς
him he and says to-them the ears my I-had from the
ἀντιλογίας μεστά· ἐκύκλωσα οὖν, ἵνα καθαρίσω αὐτὰ, καὶ
dispute full I-circled then so-that I-might-cleanse them and
οὕτως εἰσέλθω ἐν ἡσυχίᾳ τοῦ νοός μου εἰς τὸ κελλίον μου.
thus go-in in stillness of-the mind my into the cell my

26 Ἦλθέ ποτε ἀδελφὸς εἰς τὴν κέλλαν τοῦ ἀββᾶ Ἰωάννου
came once (a)-brother to the cell — of-abba John
ὀψὲ, σπουδάζων ἀπελθεῖν· καὶ λαλούντων αὐτῶν περὶ
at-evening hurrying to-go-away and talking they about
ἀρετῶν, γέγονε πρωΐ, καὶ οὐκ ἔγνωσαν. Καὶ ἐξῆλθε
virtues it-became dawn and not they-knew and he-went-out
προπέμψαι αὐτόν· καὶ ἔμειναν λαλοῦντες ἕως ἕκτης
to-see-off him and they-remained talking until (the)-sixth
ὥρας. Καὶ εἰσήνεγκεν· καὶ γευσάμενος, οὕτως ἀπῆλθεν.
hour and he-brought-him-in and having-eaten thus he-went-away

27 Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης, ὅτι φυλακή ἐστι, τὸ καθίσαι
said — abba John that (a)-prison is the to-sit
ἐν τῷ κελλίῳ, καὶ μνημονεύειν τοῦ Θεοῦ πάντοτε. Καὶ
in the cell and to-remember — God always and
τοῦτό ἐστι τὸ, Ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρὸς μέ.
this is the(-word) in prison I-was and you-came to me

28 Εἶπε πάλιν· Τίς ἰσχυρὸς ὡς ὁ λέων; καὶ διὰ τὴν
he-said again who (is)-strong as the lion and because-of the
κοιλίαν αὐτοῦ ἐμπίπτει εἰς παγίδα, καὶ ὅλη ἡ ἰσχὺς
belly his he-falls into (a)-snare and all the strength
αὐτοῦ ταπεινοῦται.
his is-humbled

29 Ἔλεγε πάλιν, ὅτι ἐσθίοντες οἱ Πατέρες τῆς Σκήτεως ἄρτον
he-said again that eating the Fathers — of-Scetis bread
καὶ ἅλας, ἔλεγον· Μὴ ἀναγκάσωμεν ἑαυτοὺς εἰς ἅλας καὶ
and salt said not let-us-force ourselves to salt and
ἄρτον. Καὶ οὕτως ἰσχυροὶ ἦσαν πρὸς τὸ ἔργον τοῦ Θεοῦ.
bread and so strong they-were for the work — of-God

30 Ἦλθεν ἀδελφός τις λαβεῖν σπυρίδας παρὰ τοῦ ἀββᾶ
came brother a-certain to-take baskets from — abba
Ἰωάννου. Καὶ ἐξελθὼν λέγει αὐτῷ· Τί θέλεις, ἀδελφέ;
John and having-gone-out he-says to-him what do-you-wish brother

Ὁ δὲ εἶπε· Σπυρίδας, ἀββᾶ. Εἰσελθὼν δὲ ἐκβαλεῖν,
he and said baskets abba having-gone-in and to-bring-them-out
ἐπελάθετο· καὶ ἐκάθισε ῥάπτων. Πάλιν ἔκρουσε· καὶ ὡς
he-forgot and he-sat sewing again he-knocked and when
ἐξῆλθε, λέγει αὐτῷ· Φέρε τὴν σπυρίδα, ἀββᾶ. Εἰσελθὼν
he-went-out he-says to-him bring the basket abba having-gone-in
δὲ πάλιν ἐκάθισε ῥάπτειν. Καὶ πάλιν ἐκεῖνος ἔκρουσε.
and again he-sat to-sew and again that(-one) knocked
Καὶ ἐξελθὼν λέγει αὐτῷ· Τί θέλεις, ἀδελφέ; Ὁ δὲ
and having-gone-out he-says to-him what do-you-wish brother he and
εἶπε· Τὴν σπυρίδα, ἀββᾶ. Καὶ κρατήσας αὐτοῦ τὴν χεῖρα,
said the basket abba and having-taken his the hand
εἰσήνεγκεν αὐτὸν ἔσω, λέγων· Εἰ σπυρίδας θέλεις, λάβε
he-brought him inside saying if baskets you-wish take
καὶ περιπάτει· ἐγὼ γὰρ οὐ σχολάζω.
and walk-off I for not have-leisure
Ἦλθέ ποτε καμηλίτης, ἵνα λάβῃ τὰ σκεύη αὐτοῦ, 31
came once (a)-camel-driver so-that he-might-take the goods his
καὶ ἀπέλθῃ εἰς ἄλλον τόπον. Ὁ δὲ εἰσελθὼν ἐνέγκαι
and go-away to another place he and having-gone-in to-bring
αὐτῷ τὴν σειρὰν, ἐπελάθετο, τεταμένην ἔχων τὴν διάνοιαν
him the rope forgot stretched having the mind
πρὸς τὸν Θεόν. Πάλιν οὖν ὤχλησεν ὁ καμηλίτης κρούων
toward — God again then troubled-him the camel-driver knocking-on
τὴν θύραν, καὶ πάλιν ὁ ἀββᾶς Ἰωάννης εἰσερχόμενος,
the door and again — abba John going-in
ἐπελάθετο. Τὸ δὲ τρίτον κρούσαντος τοῦ καμηλίτου,
forgot the and third(-time) having-knocked the camel-driver
εἰσερχόμενος ἔλεγε· Σειρὰ κάμηλος, σειρὰ κάμηλος.
going-in he-said rope camel rope camel

32 Ὁ αὐτὸς γέγονε ζέων τῷ πνεύματι. Παραβαλὼν οὖν τις
the same became fervent in-the spirit having-visited then someone
αὐτῷ, ἐπήνεσεν αὐτοῦ τὸ ἔργον· εἰργάζετο δὲ σειράν·
him praised his the work he-was-working and (a)-rope
καὶ ἐσιώπησε. Πάλιν ἐκεῖνος ἐκίνησεν αὐτῷ λόγον· καὶ
and he-was-silent again that(-one) moved to-him (a)-word and
πάλιν ἐσιώπα. Τὸ τρίτον, λέγει τῷ παραβαλόντι·
again he-was-silent the third(-time) he-says to-the(-one) having-visited
Ἀφ' οὗ εἰσῆλθες ἐνταῦθα, ἔβαλες τὸν Θεὸν ἀπ' ἐμοῦ.
since which you-came-in here you-drove-away — God from me

33 Ἦλθέ τις γέρων εἰς τὴν κέλλαν τοῦ ἀββᾶ Ἰωάννου, καὶ
came a-certain old-man to the cell — of-abba John and
εὗρεν αὐτὸν καθεύδοντα, καὶ ἄγγελον παριστάμενον καὶ
found him sleeping and (an)-angel standing-by and
ῥιπίζοντα αὐτόν. Καὶ ἀνεχώρησεν ἰδών. Ὡς δὲ ἀνέστη,
fanning him and he-withdrew having-seen when and he-rose
λέγει τῷ μαθητῇ αὐτοῦ· Ἦλθέ τις ὧδε κοιμωμένου μου;
he-says to-the disciple his came anyone here sleeping me
Λέγει· Ναί· ὁ δεῖνα ὁ γέρων. Καὶ ἔγνω ὁ ἀββᾶς Ἰωάννης,
he-says yes the so-and-so the old-man and knew — abba John
ὅτι τῶν μέτρων αὐτοῦ ἦν ὁ γέρων, καὶ εἶδε τὸν ἄγγελον.
that of-the measures his was the old-man and he-saw the angel

34 Εἶπεν ὁ ἀββᾶς Ἰωάννης· Ἐγὼ θέλω μεταλαβεῖν τὸν
said — abba John I wish to-share-in the
ἄνθρωπον, μικρὸν ἐκ πασῶν τῶν ἀρετῶν. Τοίνυν ἐφ'
man (a)-little of all the virtues therefore on
ἑκάστης ἡμέρας, διανιστάμενος τῷ πρωΐ, ἐπιλαβοῦ ἀρχὴν
each day rising at-the dawn take-up (a)-beginning
εἰς πᾶσαν ἀρετὴν, καὶ ἐντολὴν Θεοῦ, ἐν μεγίστῃ ὑπομονῇ,
in every virtue and commandment of-God in greatest endurance
μετὰ φόβου καὶ μακροθυμίας, ἐν ἀγάπῃ Θεοῦ, μετὰ πάσης
with fear and long-suffering in love of-God with all

προθυμίας ψυχῆς καὶ σώματος, καὶ ταπεινώσεως πολλῆς,
eagerness of-soul and body and humility much
ἐν ὑπομονῇ θλίψεως καρδίας καὶ φυλακῆς, ἐν προσευχῇ
in endurance of-affliction of-heart and guard in prayer
πολλῇ καὶ πρεσβείαις, μετὰ στεναγμοῦ, ἐν ἁγνείᾳ γλώσσης,
much and intercessions with groaning in purity of-tongue
καὶ φυλακῇ ὀφθαλμῶν ἀτιμαζόμενος, καὶ μὴ ὀργιζόμενος·
and guard of-eyes being-dishonored and not being-angry
εἰρηνεύων, καὶ μὴ ἀνταποδιδοὺς κακὸν ἀντὶ κακοῦ·
being-at-peace and not repaying evil for evil
μὴ προσέχων πταίσμασιν ἑτέρων· μὴ ἑαυτὸν μετρῶν,
not attending to-(the)-faults of-others not yourself measuring
ὑποκάτω πάσης τῆς κτίσεως ὤν· ἐν ἀποταξίᾳ ὕλης
beneath all the creation being in renunciation of-matter
καὶ τῶν κατὰ σάρκα, ἐν σταυρῷ, ἐν ἀγῶνι, ἐν
and of-the(-things) according-to flesh in (the)-cross in struggle in
πτωχείᾳ πνεύματος, ἐν προαιρέσει καὶ ἀσκήσει πνευματικῇ,
poverty of-spirit in purpose and discipline spiritual
ἐν νηστείᾳ, ἐν μετανοίᾳ καὶ κλαυθμῷ, ἐν ἀγῶνι πολέμου,
in fasting in repentance and weeping in struggle of-war
ἐν διακρίσει, ἐν ἁγνείᾳ ψυχῆς, ἐν μεταλήψει χρηστῇ· ἐν
in discernment in purity of-soul in partaking good in
ἡσυχίᾳ τὸ ἐργόχειρον· ἐν ταῖς νυκτεριναῖς ἀγρυπνίαις,
stillness the handiwork in the nightly vigils
ἐν πείνῃ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι, ἐν πόνοις·
in hunger and thirst in cold and nakedness in labors
ἀποκλείων σου τὸν τάφον, ὡς ἤδη τελευτήσας· ὡς
shutting-in your the tomb as already having-died so-as
νομίζειν εἶναί σου τὸν θάνατον ἐγγὺς πᾶσαν τὴν ὥραν.
to-think to-be your the death near every the hour

35 Ἔλεγον περὶ αὐτοῦ τοῦ ἀββᾶ Ἰωάννου, ὅτι ὡς ἤρχετο ἐκ
they-said about himself — abba John that when he-came from
τοῦ θέρους, ἢ παραβάλλων γέρουσιν, εἰς τὴν εὐχὴν καὶ εἰς
the harvest or visiting old-men to the prayer and to
τὴν μελέτην καὶ εἰς τὴν ψαλμῳδίαν ἐσχόλαζεν, ἕως οὗ
the meditation and to the psalmody he-gave-himself until which
ἀποκατεστάθη ὁ λογισμὸς αὐτοῦ εἰς τὴν τάξιν τὴν ἀρχαίαν.
was-restored the thought his to the order the ancient

36 Εἶπέ τις τῶν Πατέρων περὶ αὐτοῦ, ὅτι Τίς ἐστιν ὁ
said one of-the Fathers about him that who is —
Ἰωάννης, ὅτι διὰ τῆς ταπεινώσεως αὐτοῦ, ἐκρέμασεν
John that through the humility his he-hung
ὅλην τὴν Σκῆτιν ἐν τῷ μικρῷ αὐτοῦ δακτύλῳ;
all — Scetis on the little his finger

37 Ἠρώτησέ τις τῶν Πατέρων τὸν ἀββᾶν Ἰωάννην τὸν
asked one of-the Fathers — abba John the
κολοβὸν, τί ἐστι μοναχός; Ὁ δὲ εἶπε· Κόπος. Ὅτι ὁ
dwarf what is (a)-monk he and said toil for the
μοναχὸς εἰς πᾶν ἔργον κοπιᾷ. Οὕτως ὁ μοναχός.
monk in every work toils thus (is)-the monk

38 Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὁ κολοβὸς, ὅτι γέρων τις
said — abba John the dwarf that old-man a-certain
πνευματικὸς, ἀπέκλεισεν ἑαυτὸν, καὶ ἦν ἐπίσημος ἐν τῇ
spiritual shut-in himself and was notable in the
πόλει, καὶ δόξαν πολλὴν ἔχων. Ἐδηλώθη δὲ τούτῳ,
city and glory much having it-was-made-known and to-him
ὅτι Μέλλει τις τῶν ἁγίων ἀναλύειν, δεῦρο, ἄσπασαι αὐτὸν
that is-about one of-the saints to-depart come greet him
πρὶν κοιμηθῇ. Καὶ ἐνεθυμήθη ἐν ἑαυτῷ, ὅτι Ἐὰν ἐξέλθω
before he-falls-asleep and he-pondered in himself that if I-go-out
ἡμέρας, ἐπιτρέχουσιν οἱ ἄνθρωποι, καὶ πολλή μοι δόξα
by-day run-up the men and much to-me glory

γίνεται, καὶ οὐκ ἀναπαύομαι εἰς ταῦτα. Ἀπέρχομαι οὖν
comes and not I-am-at-rest in these(-things) I-go-away then
ὀψὲ τῇ σκοτίᾳ, καὶ λανθάνω πάντας. Ὀψὲ οὖν
at-evening in-the dark and I-escape-notice-of all at-evening then
ἐξελθὼν ἐκ τοῦ κελλίου ὡς θέλων λαθεῖν· καὶ ἰδοὺ
having-gone-out from the cell as wishing to-escape-notice and behold
ἐκ τοῦ Θεοῦ καταπέμπονται δύο ἄγγελοι μετὰ λαμπάδων,
from — God are-sent-down two angels with torches
παραφαίνοντες αὐτῷ· καὶ λοιπὸν πᾶσα ἡ πόλις κατέδραμε
shining-beside him and thereafter all the city ran-down
βλέπουσα τὴν δόξαν. Καὶ ὅσον ἔδοξε φεύγειν τὴν
seeing the glory and as-much-as he-seemed to-flee the
δόξαν, πλέον ἐδοξάσθη. Ἐν τούτοις πληροῦται τὸ
glory more he-was-glorified in these(-things) is-fulfilled the
γεγραμμένον· Πᾶς ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.
written every the(-one) humbling himself will-be-exalted
Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὁ κολοβός· Οὐ δυνατὸν 39
said — abba John the dwarf not (it-is)-possible
οἰκοδομῆσαι τὸν οἶκον ἄνωθεν ἐπὶ τὸ κάτω, ἀλλ' ἐκ
to-build the house from-above to the below but from
τοῦ θεμελίου ἐπὶ τὸ ἄνω. Λέγουσιν αὐτῷ· Τίς ἐστιν ὁ
the foundation to the above they-say to-him what is the
λόγος οὗτος; Λέγει αὐτοῖς· Ὁ θεμέλιος, ὁ πλησίον ἐστὶν,
word this he-says to-them the foundation the neighbor it-is
ἵνα αὐτὸν κερδάνῃς· καὶ ὀφείλει πρῶτον. Εἰς αὐτὸν γὰρ
that him you-gain and he-ought (to-come)-first on him for
κρέμανται πᾶσαι αἱ ἐντολαὶ τοῦ Χριστοῦ.
hang all the commandments — of-Christ
Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου, ὅτι τινὸς νεωτέρας 40
they-said about — abba John that of-a-certain young-woman
ἐτελεύτησαν οἱ γονεῖς, καὶ ὑπελείφθη ὀρφανή· ὄνομα
died the parents and she-was-left (an)-orphan (the)-name

δὲ αὐτῇ, Παησία. Ἐλογίσατο οὖν ποιῆσαι τὸν οἶκον
and to-her Paesia she-reckoned then to-make the house
αὐτῆς ξενοδοχεῖον, εἰς λόγον τῶν Πατέρων τῆς Σκήτεως.
her (a)-guest-house for (the)-sake of-the Fathers — of-Scetis
Ἔμεινεν οὖν οὕτως ξενοδοχοῦσα ἐπὶ χρόνον ἱκανὸν, καὶ
she-remained then thus keeping-guests for time sufficient and
θεραπεύουσα τοὺς Πατέρας. Μετὰ δὲ χρόνον, ὡς ἀνηλώθη
serving the Fathers after and (a)-time when were-spent
τὰ πράγματα, ἀρχὴν ἐποίησεν ὑστερεῖσθαι. Ἐκολλήθησαν
the goods (a)-beginning she-made to-be-in-want attached-themselves
οὖν αὐτῇ διάστροφοι ἄνθρωποι, καὶ μετέστησαν αὐτὴν
then to-her perverse men and turned her
ἀπὸ τοῦ σκοποῦ τοῦ ἀγαθοῦ· καὶ λοιπὸν ἤρξατο διάγειν
from the aim of-the good and thereafter she-began to-live
κακῶς, ὥστε φθάσαι αὐτὴν εἰς τὸ πορνεύειν. Ἤκουσαν δὲ
badly so-that to-come her to the to-fornicate heard and
οἱ Πατέρες, καὶ πάνυ ἐλυπήθησαν, καὶ προσκαλεσάμενοι
the Fathers and very were-grieved and having-called
τὸν ἀββᾶν Ἰωάννην τὸν κολοβὸν, λέγουσιν αὐτῷ ὅτι,
— abba John the dwarf they-say to-him that
Ἠκούσαμεν περὶ τῆς ἀδελφῆς ἐκείνης, ὅτι διάγει κακῶς καὶ
we-have-heard about the sister that that she-lives badly and
αὐτὴ ὅτε ἠδύνατο, τὴν ἀγάπην αὐτῆς εἰς ἡμᾶς ἐνεδείξατο·
she when she-could the love her to us showed
καὶ νῦν ἡμεῖς ἐπιδειξώμεθα εἰς αὐτὴν τὴν ἀγάπην, καὶ
and now we let-us-show to her the love and
βοηθήσωμεν αὐτῇ. Σκύλθητι οὖν πρὸς αὐτήν· καὶ κατὰ
let-us-help her trouble-yourself then to her and according-to
τὴν σοφίαν ἣν ἔδωκέ σοι ὁ Θεὸς, οἰκονόμησον τὰ
the wisdom which gave you — God manage the(-things)
κατ᾽ αὐτήν. Ἦλθεν οὖν ὁ ἀββᾶς Ἰωάννης πρὸς αὐτὴν,
concerning her came then — abba John to her

καὶ λέγει τῇ γραΐδι τῇ θυρωρῷ· Μήνυσόν με πρὸς τὴν
and says to-the old-woman the doorkeeper announce me to the
κυρίαν σου. Ἡ δὲ ἀπεπέμψατο αὐτὸν λέγουσα· Ὑμεῖς ἐξ
mistress your she and sent-away him saying you from
ἀρχῆς κατεφάγετε τὰ αὐτῆς, καὶ ἤδη πτωχή ἐστι.
(the)-beginning devoured the(-things) her and now poor she-is
Λέγει αὐτῇ ὁ ἀββᾶς Ἰωάννης· Εἰπὲ αὐτῇ. Πάνυ γὰρ
says to-her — abba John tell her very for
ἔχω αὐτὴν ὠφελῆσαι. Οἱ δὲ παῖδες αὐτῆς ὑπομειδιῶντες
I-am-able her to-benefit the and servants her smiling
λέγουσιν αὐτῷ· Τί γὰρ ἔχεις δοῦναι αὐτῇ, ὅτι θέλεις
say to-him what for have-you to-give her that you-wish
αὐτῇ συντυχεῖν; Ὁ δὲ ἀπεκρίθη λέγων· Πόθεν γὰρ οἴδατε
her to-meet he and answered saying whence for do-you-know
τί μέλλω αὐτῇ παρασχεῖν; Ἀνελθοῦσα οὖν ἡ γραῦς,
what I-am-about to-her to-give having-gone-up then the old-woman
εἶπεν αὐτῇ περὶ αὐτοῦ. Καὶ λέγει αὐτῇ ἡ νεωτέρα· Οὗτοι
told her about him and says to-her the young-woman these
οἱ μοναχοὶ ἀεὶ διακινοῦσι παρὰ τὴν Ἐρυθρὰν θάλασσαν,
the monks always go-about along the Red sea
καὶ εὑρίσκουσι μαργαρίτας. Κοσμήσασα οὖν ἑαυτὴν λέγει,
and find pearls having-adorned then herself she-says
Θέλησον ἀνενέγκαι πρὸς μέ. Ὡς οὖν ἀνῆλθε, προλαβοῦσα
be-pleased to-bring-him-up to me when then he-came-up having-gone-first
ἐκαθέσθη εἰς τὴν κλίνην. Ἐλθὼν δὲ ὁ ἀββᾶς Ἰωάννης,
she-sat on the bed having-come and — abba John
ἐκαθέσθη ἐγγὺς αὐτῆς. Προσχὼν δὲ εἰς τὸ πρόσωπον
sat near her having-looked and into the face
αὐτῆς, λέγει αὐτῇ· Τί κατέγνως τοῦ Ἰησοῦ, ὅτι εἰς
her he-says to-her what did-you-condemn — of-Jesus that to
τοῦτο ἦλθες; Ἀκούσασα δὲ, ἀπεπάγη ὅλη. Καὶ κλίνας
this you-have-come having-heard and she-froze wholly and having-bent

κάτω τὴν κεφαλὴν αὐτοῦ ὁ ἀββᾶς Ἰωάννης, ἤρξατο
down the head his — abba John began
κλαίειν σφοδρῶς. Λέγει αὐτῷ αὐτή· Ἀββᾶ, τί κλαίεις; Ὡς
to-weep violently says to-him she abba why do-you-weep when
δὲ ἀνένευσε, πάλιν ἔκλινεν ἑαυτὸν κλαίων, καὶ λέγει αὐτῇ·
and he-looked-up again he-bent himself weeping and he-says to-her
Βλέπω ὅτι ὁ Σατανᾶς παίζει εἰς τὴν ὄψιν σου, καὶ οὐ μὴ
I-see that — Satan plays in the face your and not —
κλαύσω; Ἀκούσασα δὲ λέγει αὐτῷ· Ἔνι μετάνοια, ἀββᾶ;
shall-I-weep having-heard and she-says to-him is-there repentance abba
λέγει αὐτῇ· Ναί. Λέγει αὐτῷ· Λάβε με ὅπου θέλεις. Λέγει
he-says to-her yes she-says to-him take me where you-wish he-says
αὐτῇ· Ἄγωμεν. Καὶ ἀνέστη ἀκολουθῆσαι αὐτῷ. Προσέσχε
to-her let-us-go and she-rose to-follow him noticed
δὲ ὁ ἀββᾶς Ἰωάννης ὅτι οὐδὲν διετάξατο ἢ ἐλάλησε περὶ
and — abba John that nothing she-arranged or spoke about
τοῦ οἴκου αὐτῆς, καὶ ἐθαύμασεν. Ὡς οὖν ἔφθασαν εἰς
the house her and he-marveled when then they-reached into
τὴν ἔρημον, βράδιον ἐγένετο. Καὶ ποιήσας ἐκ τῆς ἄμμου
the desert evening came and having-made from the sand
μικρὸν προσκέφαλα αὐτῆς, καὶ σφραγισάμενος, λέγει αὐτῇ·
(a)-little pillow for-her and having-sealed(-her) he-says to-her
Καθεύδησον ἐνταῦθα. Ποιήσας δὲ καὶ ἑαυτῷ ἀπὸ μικροῦ
sleep here having-made and also for-himself at (a)-little
διαστήματος, καὶ πληρώσας τὰς εὐχὰς αὐτοῦ, ἀνεκλίθη.
distance and having-completed the prayers his he-lay-down
Περὶ δὲ τὸ μεσονύκτιον διϋπνισθεὶς, βλέπει ὁδόν τινα
about and the midnight having-woken he-sees road a-certain
φωτεινὴν ἀπὸ τοῦ οὐρανοῦ ἕως αὐτῆς ἐστηριγμένην· καὶ
bright from the heaven to her fixed and
εἶδε τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναφέροντας τὴν ψυχὴν αὐτῆς.
he-saw the angels — of-God carrying-up the soul her

Ἀναστὰς οὖν καὶ ἀπελθὼν, ἔνυξεν αὐτὴν τῷ ποδί. Ὡς δὲ
having-risen then and having-gone he-prodded her with-the foot when and
εἶδεν ὅτι ἀπέθανεν, ἔῤῥιψεν ἑαυτὸν ἐπὶ πρόσωπον δεόμενος
he-saw that she-had-died he-threw himself on (his)-face beseeching
τοῦ Θεοῦ. Καὶ ἤκουσεν, ὅτι ἡ μία ὥρα τῆς μετανοίας
— God and he-heard that the one hour of-the repentance
αὐτῆς, προσεδέχθη ὑπὲρ μετάνοιαν πολλῶν χρονιζόντων,
her was-accepted beyond (the)-repentance of-many delaying
καὶ μὴ ἐνδεικνυμένων τὸ θερμὸν τῆς τοιαύτης μετανοίας.
and not showing the warmth of-the such repentance

XLVII · JOHN OF THE COMMUNITY

John of the Community greets the brothers from Scetis and turns back to work, since a sinner has no time for courtesies.

Ἀδελφὸς ἦν οἰκῶν ἐν κοινοβίῳ, καὶ πάνυ κρατῶν ἄσκησιν. 1
(a)-brother was dwelling in (a)-community and very holding-to discipline
Ἀκούσαντες δὲ ἀδελφοὶ εἰς Σκῆτιν περὶ αὐτοῦ, ἦλθον
having-heard and brothers in Scetis about him came
ἰδεῖν αὐτόν. Καὶ εἰσῆλθον εἰς τὸν τόπον ὅπου αὐτὸς
to-see him and they-went-in into the place where he
εἰργάζετο. Καὶ ἀσπασάμενος αὐτοὺς, ἐπιστραφεὶς ἤρξατο
was-working and having-greeted them having-turned-away he-began
ἐργάζεσθαι. Ἰδόντες δὲ οἱ ἀδελφοὶ ὃ ἐποίησε, λέγουσιν
to-work having-seen and the brothers what he-did they-say
αὐτῷ· Ἰωάννη, τίς ἔβαλέ σοι τὸ σχῆμα; ἢ τίς ἐποίησέ
to-him John who put-on you the habit or who made
σε μοναχόν; καὶ οὐκ ἐδίδαξέ σε λαβεῖν ἀπὸ τῶν ἀδελφῶν
you (a)-monk and not taught you to-take from the brothers

τὸ μηλωτάριον, καὶ λέγειν αὐτοῖς· Εὔξασθε, ἢ Καθίσατε.
the little-sheepskin and to-say to-them pray or sit
Λέγει αὐτοῖς· Ἰωάννης ἁμαρτωλὸς οὐ σχολάζει εἰς ταῦτα.
he-says to-them John (the)-sinner not has-leisure for these(-things)

XLVIII · ISIDORE

Isidore, priest of Scetis, takes every weak or insolent brother and saves him by patience; demons fear him because anger never reaches his throat. Old, he plaits palm leaves by night, since the Son of God came here for us, and returns from Alexandria having seen no face but the archbishop's. His thoughts call him great and he answers that he is not Antony or Pambo.

1 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰσιδώρου τοῦ πρεσβυτέρου τῆς
they-said about — abba Isidore the priest —
Σκήτεως, ὅτι εἴ τις εἶχεν ἀδελφὸν ἀσθενῆ, ἢ ὀλίγωρον,
of-Scetis that if anyone had (a)-brother weak or negligent
ἢ ὑβριστὴν, καὶ ἤθελε βαλεῖν αὐτὸν ἔξω, ἔλεγε· Φέρε
or insolent and wished to-put him out he-said bring
μοι αὐτὸν ὧδε. Καὶ ἐλάμβανεν αὐτὸν, καὶ διὰ τῆς
me him here and he-took him and through the
μακροθυμίας αὐτοῦ ἔσωσεν αὐτόν.
long-suffering his he-saved him

2 Ἀδελφὸς ἠρώτησεν αὐτὸν, λέγων· Διατί οἱ δαίμονες οὕτως
(a)-brother asked him saying why the demons so
σε φοβοῦνται σφόδρα; Λέγει αὐτῷ ὁ γέρων· Ὅτι ἀφ'
you fear greatly says to-him the old-man because since
ἧς ἐγενόμην μοναχὸς, ἀσκῶ, μὴ συγχωρῶν τὴν ὀργὴν
which I-became (a)-monk I-practice not allowing the anger
προαναβῆναι τῷ λάρυγγί μου.
to-come-up-first to-the throat my

Ἔλεγε πάλιν, τεσσαρακοστὸν ἔτος ἔχειν, ἀφ' οὗ αἰσθάνεται 3
he-said again (the)-fortieth year to-have since which he-perceives
τῆς κατὰ διάνοιαν ἁμαρτίας, μηδέποτε δὲ συγκαταθέσθαι,
the in mind sin never but to-have-consented
μήτε ἐπιθυμίας, μήτε θυμοῦ.
neither to-desire nor to-wrath
Εἶπε πάλιν· Ἐγὼ ὅτε ἤμην νεώτερος, καὶ ἐκαθήμην εἰς 4
he-said again I when I-was younger and I-sat in
τὸ κελλίον μου, μέτρον συνάξεως οὐκ εἶχον· ἡ νύξ μοι
the cell my (a)-measure of-synaxis not I-had the night for-me
καὶ ἡμέρα, σύναξις ἦν.
and day synaxis was
Εἶπεν ὁ ἀββᾶς Ποιμὴν περὶ τοῦ ἀββᾶ Ἰσιδώρου, ὅτι ἔπλεκε 5
said — abba Poemen about — abba Isidore that he-plaited
δέμα θαλλίων κατὰ νύκτα· καὶ παρεκάλουν αὐτὸν οἱ
(a)-bundle of-palm-shoots by night and besought him the
ἀδελφοὶ, λέγοντες· Ἀνάπαυσον σεαυτὸν ὀλίγον, ὅτι λοιπὸν
brothers saying rest yourself (a)-little for now
ἐγήρασας. Καὶ ἔλεγεν αὐτοῖς, ὅτι Ἐὰν καύσωσιν Ἰσίδωρον,
you-have-grown-old and he-said to-them that if they-burn Isidore
καὶ τὴν σποδὸν αὐτοῦ ἀνέμῳ σκορπίσωσιν, οὐδὲ μία
and the ash his to-the-wind they-scatter not-even one
μοι χάρις ἀκμὴν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ὧδε ἦλθε δι' ἡμᾶς.
to-me grace still for the Son — of-God here came for us
Ὁ αὐτὸς εἶπε περὶ τοῦ ἀββᾶ Ἰσιδώρου, ὅτι ἔλεγον αὐτῷ οἱ 6
the same said about — abba Isidore that said to-him the
λογισμοί· Μέγας εἶ ἄνθρωπος. Καὶ ἔλεγε πρὸς αὐτούς·
thoughts great are-you (a)-man and he-said to them
Μή εἰμι κατὰ τὸν ἀββᾶν Ἀντώνιον; ἢ ἐγενόμην ὅλως κατὰ
not am-I like — abba Antony or did-I-become at-all like
τὸν ἀββᾶν Παμβὼ, ἢ ὡς οἱ λοιποὶ Πατέρες οἱ τῷ Θεῷ
— abba Pambo or as the other Fathers the — God

εὐαρεστήσαντες! Ὅτε ταῦτα παρεισήνεγκεν, ἀνεπαύετο.
having-pleased when these(-things) he-brought-in he-was-at-rest
Ὅτε δὲ ἡ ἔχθρα ἐποίει αὐτὸν ὀλιγοψυχῆσαι, ὡς ὅτι μετὰ
when and the enmity made him to-be-faint-hearted as that after
ταῦτα πάντα εἰς τὴν κόλασιν, ἔλεγεν αὐτὸς πρὸς αὐτοὺς
these(-things) all into the punishment he-said he to them
ὅτι, Κἂν εἰς κόλασιν ἐμβληθῶ, ὑμᾶς ὑποκάτω εὑρίσκω.
that even-if into punishment I-be-thrown you beneath I-find

7 Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος ὅτι, Ἀπῆλθόν ποτε ἐν τῇ ἀγορᾷ
said — abba Isidore that I-went-away once into the market
πωλῆσαι σκεύη μικρά· καὶ ἰδὼν τὴν ὀργὴν ἐγγίζουσάν
to-sell vessels small and having-seen the anger approaching
μοι, ἐάσας τὰ σκεύη ἔφυγον.
me having-left the vessels I-fled

8 Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ἰσίδωρος πρὸς τὸν ἀββᾶν Θεόφιλον
went-away once — abba Isidore to — abba Theophilus
τὸν ἀρχιεπίσκοπον Ἀλεξανδρείας· καὶ ὡς ὑπέστρεψεν εἰς
the archbishop of-Alexandria and when he-returned to
Σκῆτιν, ἠρώτησαν αὐτὸν οἱ ἀδελφοί· Πῶς ἡ πόλις; Ὁ
Scetis asked him the brothers how (is)-the city he
δὲ εἶπε· Φύσει, ἀδελφοὶ, ἐγὼ πρόσωπον ἀνθρώπου οὐκ
and said truly brothers I (the)-face of-(a)-man not
εἶδον, εἰ μὴ μόνον τοῦ ἀρχιεπισκόπου. Οἱ δὲ ἀκούσαντες
saw if not only of-the archbishop they and having-heard
ἐταράχθησαν, λέγοντες· Ἆρα ἐχαώθησαν, ἀββᾶ; Ὁ δὲ
were-troubled saying then were-they-destroyed abba he and
εἶπεν· Οὐχ οὕτως· ἀλλ' οὐκ ἐνίκησέ με ὁ λογισμὸς τοῦ
said not thus but not conquered me the thought of-the
ἰδεῖν τινα. Οἱ δὲ ἀκούσαντες ἐθαύμασαν, καὶ ἐστηρίχθησαν
to-see anyone they and having-heard marveled and were-strengthened
ἵνα φυλάττωσιν ἀπὸ μετεωρισμοῦ τοὺς ὀφθαλμοὺς αὐτῶν.
that they-guard from distraction the eyes their

Ὁ αὐτὸς ἀββᾶς Ἰσίδωρος εἶπεν· Ἡ σύνεσις τῶν ἁγίων 9
the same abba Isidore said the understanding of-the saints
αὕτη ἐστὶ, τὸ ἐπιγνῶναι τὸ θέλημα τοῦ Θεοῦ. Πάντων γὰρ
this is the to-recognize the will — of-God over-all for
περιγίνεται ὁ ἄνθρωπος ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας, ὅτι
prevails the man in the obedience of-the truth because
εἰκὼν καὶ ὁμοίωμα τοῦ Θεοῦ ἐστι. Πάντων δὲ πνευμάτων
(the)-image and likeness — of-God he-is of-all and spirits
δεινόν ἐστι τὸ ἀκολουθεῖν τῇ ἑαυτοῦ καρδίᾳ, τουτέστι τῷ
terrible is the to-follow the one's-own heart that-is the
ἰδίῳ λογισμῷ, καὶ μὴ τῷ νόμῳ τοῦ Θεοῦ· καὶ ὕστερον γίνεται
own thought and not the law — of-God and later it-becomes
αὐτῷ εἰς πένθος, ὅτι οὐκ ἔγνω τὸ μυστήριον, οὐδὲ εὗρε
for-him to mourning because not he-knew the mystery nor found
τὴν ὁδὸν τῶν ἁγίων ἐργάζεσθαι ἐν αὐτῇ. Νῦν οὖν καιρὸς
the road of-the saints to-work in it now then (it-is-the)-time
τοῦ ποιῆσαι τῷ Κυρίῳ, ὅτι σωτηρία ἐν καιρῷ θλίψεως· ὅτι
of-the to-act for-the Lord for salvation in (the)-time of-affliction for
γέγραπται· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.
it-is-written in the endurance your acquire the souls your

XLIX · ISIDORE OF PELUSIUM

Isidore of Pelusium sets life without word above word without life, warns that virtue is immortal and good fortune quickly quenched, and bids avarice be driven out at the outset, before it grows unconquerable.

Ἔλεγεν ὁ ἀββᾶς Ἰσίδωρος ὁ Πηλουσιώτης, ὅτι Βίος 1
said — abba Isidore the Pelusiote that life
ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν, ἢ λόγος ἄνευ βίου.
without word rather to-benefit is-wont than word without life

Ὁ μὲν γὰρ, καὶ σιγῶν ὠφελεῖ· ὁ δὲ καὶ βοῶν ἐνοχλεῖ.
the indeed for even being-silent benefits the but even shouting annoys
Εἰ δὲ καὶ λόγος καὶ βίος συνδράμοι, ἓν φιλοσοφίας
if but both word and life should-concur one of-philosophy
ἁπάσης ἀποτελοῦσιν ἄγαλμα.
all they-complete statue

2 Ὁ αὐτὸς ἔλεγε· Τὰς ἀρετὰς τίμα· μὴ τὰς εὐημερίας
the same said the virtues honor not the prosperities
θεράπευε· αἱ μὲν γὰρ ἀθάνατόν εἰσι χρῆμα· αἱ δὲ
court the indeed for immortal are (a)-possession the but
ῥᾳδίως σβέννυνται.
easily are-quenched

3 Εἶπε πάλιν, ὅτι Πολλοὶ τῶν ἀνθρώπων ὀρέγονται μὲν
he-said again that many of-the men long-for indeed
ἀρετῆς, τὴν δὲ ἐπ᾽ αὐτὴν φέρουσαν ὁδὸν ὀκνοῦσιν ἰέναι·
virtue the but to it leading road they-shrink to-go
ἄλλοι δὲ οὐδὲ ἀρετὴν εἶναι ἡγοῦνται. Χρὴ οὖν τοὺς
others and not-even virtue to-be think it-is-needful then the
μὲν πεῖσαι, τὸν ὄκνον ἀποθέσθαι· τοὺς δὲ διδάξαι ὅτι
indeed to-persuade the sloth to-put-off the but to-teach that
ὄντως ἀρετή ἐστιν ἡ ἀρετή.
truly virtue is the virtue

4 Εἶπε πάλιν, ὅτι ἡ κακία, καὶ Θεοῦ τοὺς ἀνθρώπους
he-said again that the wickedness both from-God the men
ἀπέστησε, καὶ ἀλλήλων διέστησε. Ταύτην οὖν προτροπάδην
separated and from-each-other divided this then headlong
φεύγειν χρὴ. καὶ διώκειν τὴν ἀρετὴν, τὴν καὶ Θεῷ
to-flee it-is-needful and to-pursue the virtue the(-one) both to-God
προσάγουσαν καὶ ἀλλήλοις συνάπτουσαν. Ἀρετῆς δὲ καὶ
bringing-near and to-each-other joining of-virtue and and
φιλοσοφίας ὅρος, τὸ μετὰ συνέσεως ἄπλαστον.
of-philosophy (the)-definition the with understanding unaffected(-ness)

Ἔλεγε πάλιν· Ἐπειδὴ μέγα τῆς ταπεινοφροσύνης τὸ ὕψος, 5
he-said again since great of-the humility the height
καὶ τῆς ἀλαζονείας τὸ πτῶμα, συμβουλεύω ὑμῖν, ἐκεῖνο
and of-the boastfulness the fall I-advise you that
μὲν ἀσπάσασθαι, τούτῳ δὲ μὴ περιπεσεῖν.
indeed to-embrace into-this but not to-fall
Εἶπε πάλιν· Ὁ δεινὸς καὶ πάντολμος τῆς φιλοχρηματίας 6
he-said again the terrible and all-daring of-the love-of-money
ἔρως, κόρον οὐκ εἰδὼς, ἐπὶ τὸ ἔσχατον τῶν κακῶν,
passion surfeit not knowing to the last of-the evils
τὴν ἁλοῦσαν ψυχὴν ἐλαύνει. Οὐκοῦν μάλιστα αὐτὸν ἐν
the captured soul drives so-then most it at
προοιμίοις ἐλάσωμεν. Κρατήσας γὰρ, ἀχείρωτος ἔσται.
(the)-outset let-us-drive-out having-prevailed for unconquerable it-will-be

L · ISAAC, PRIEST OF THE CELLS

Isaac flees ordination and is found by a grazing donkey. He learns from Cronius and Theodore of Pherme to work in silence, weeps that the Fathers have fallen asleep, and forbids boys in Scetis and fine clothes in the Cells. Sick, he would stay ill thirty years rather than eat plums, and dying bids the old men keep the commandments if they would keep the place.

Ἦλθόν ποτε τὸν ἀββᾶν Ἰσαὰκ πρεσβύτερον ποιῆσαι. Καὶ 1
they-came once — abba Isaac (a)-priest to-make and
ἀκούσας, ἔφυγεν εἰς Αἴγυπτον· καὶ ἀπῆλθεν εἰς ἀγρὸν,
having-heard he-fled to Egypt and went-away into (a)-field
καὶ ἐκρύβη ἀνὰ μέσον τοῦ χόρτου. Κατεδίωξαν οὖν οἱ
and hid in-the midst of-the grass pursued then the
Πατέρες ὀπίσω αὐτοῦ· καὶ φθάσαντες εἰς αὐτὸν τὸν ἀγρὸν,
Fathers after him and having-reached to itself the field

κατέλυσαν ἀναπαῆναι μικρὸν ἐκεῖ· ἦν γὰρ νύξ. Καὶ τὸν
they-halted to-rest (a)-little there it-was for night and the
ὄνον ἀπέλυσαν βόσκεσθαι. Ὁ δὲ ὄνος ἀπελθὼν, ἔστη
donkey they-let-loose to-graze the and donkey having-gone-away stood
κατὰ τοῦ γέροντος. Καὶ πρωΐ ζητοῦντες τὸν ὄνον, εὗρον
by the old-man and at-dawn seeking the donkey they-found
καὶ τὸν ἀββᾶν Ἰσαάκ· καὶ ἐθαύμασαν. Θέλοντες δὲ αὐτὸν
also — abba Isaac and they-marveled wishing and him
δῆσαι, οὐκ ἀφῆκε, λέγων· Οὐκ ἔτι φεύγω. Θέλημα γὰρ
to-bind not he-let(-them) saying not any-longer I-flee (the)-will for
τοῦ Θεοῦ ἐστι, καὶ ὅπου δ' ἂν φύγω, εἰς αὐτὸ ἔρχομαι.
— of-God it-is and where and — I-flee to it I-come
2 Εἶπεν ὁ ἀββᾶς Ἰσαάκ· Ὅτε ἤμην νεώτερος, ἐκαθήμην μετὰ
said — abba Isaac when I-was younger I-sat with
τοῦ ἀββᾶ Κρονίου· καὶ οὐδέποτε εἶπέ μοι ποιῆσαι ἔργον,
— abba Cronius and never he-told me to-do (a)-work
καίπερ γέρων ὢν καὶ τρέμων· ἀλλὰ δι' ἑαυτοῦ ἠγείρετο
although old being and trembling but by himself he-rose
καὶ παρεῖχε τὸ βαυκάλιον ἐμοὶ καὶ πᾶσιν ὁμοίως. Καὶ μετὰ
and provided the flask to-me and to-all likewise and with
τοῦ ἀββᾶ Θεοδώρου τῆς Φέρμης ἐκάθισα, καὶ οὐδὲ αὐτὸς
— abba Theodore — of-Pherme I-sat and not-even he
ἔλεγέ μοι ποιῆσαί τί ποτε· ἀλλὰ καὶ τὴν τράπεζαν δι'
told me to-do anything ever but even the table by
ἑαυτοῦ ἐτίθει, καὶ ἔλεγεν· Ἀδελφὲ, ἐὰν θέλῃς, δεῦρο φάγε.
himself he-set and he-said brother if you-wish come eat
Ἐγὼ δὲ πρὸς αὐτὸν ἔλεγον· Ἀββᾶ, ἦλθον πρὸς σὲ ἵνα
I but to him said abba I-came to you that
ὠφεληθῶ· καὶ πῶς οὐ λέγεις μοί τί ποτε ποιῆσαι;
I-might-be-benefited and how not do-you-tell me anything ever to-do
Ὁ δὲ γέρων πάντα ἐσιώπα. Καὶ ἀπῆλθον, καὶ ἀνήγγειλα
the but old-man in-all was-silent and I-went-away and reported

τοῖς γέρουσι. Καὶ ἐλθόντες οἱ γέροντες πρὸς αὐτὸν, εἶπον
to-the old-men and having-come the old-men to him said
αὐτῷ· Ἀββᾶ, ἦλθεν ὁ ἀδελφὸς πρὸς τὴν ἁγιωσύνην σου,
to-him abba came the brother to the holiness your
ὠφεληθῆναι, καὶ διατί οὐ λέγεις αὐτῷ ἵνα ποιήσῃ τί
to-be-benefited and why not do-you-tell him that he-do anything
ποτε; Καὶ λέγει αὐτοῖς ὁ γέρων· Μὴ γὰρ κοινοβιάρχης
ever and says to-them the old-man not for (a)-superior-of-a-community
εἰμὶ, ἵνα διατάξω αὐτῷ; Ἐγὼ τέως, οὐδὲν λέγω
am-I that I-should-command him I for-my-part nothing tell
αὐτῷ· ἀλλ' ἐὰν θέλῃ, ὃ βλέπει με ποιοῦντα, ποιήσει
him but if he-wishes what he-sees me doing he-will-do
καὶ αὐτός. Ἀπὸ τότε οὖν, προελάμβανον καὶ ἐποίουν, εἴ
also himself from that-time then I-anticipated and did if
τι ἔμελλεν ὁ γέρων ποιεῖν. Αὐτὸς δὲ εἴ τι ἐποίει,
anything was-about the old-man to-do he but if anything he-did
σιωπῶν ἐποίει· καὶ τοῦτό με ἐδίδαξε, τὸ ποιεῖν σιωπῶντα.
being-silent he-did and this me taught the to-do being-silent
Ὁ ἀββᾶς Ἰσαὰκ, καὶ ὁ ἀββᾶς Ἀβραὰμ, ἦσαν ὁμοῦ 3
— abba Isaac and — abba Abraham were together
οἰκοῦντες· καὶ εἰσελθὼν ὁ ἀββᾶς Ἀβραὰμ, εὗρε τὸν
dwelling and having-come-in — abba Abraham found —
ἀββᾶν Ἰσαὰκ κλαίοντα· καὶ λέγει αὐτῷ· Τί κλαίεις;
abba Isaac weeping and he-says to-him why do-you-weep
Καὶ εἶπεν ὁ γέρων· Καὶ διατί μὴ κλαύσωμεν; Ποῦ γὰρ
and said the old-man and why not should-we-weep where for
ἔχομεν ἀπελθεῖν; ἐκοιμήθησαν οἱ Πατέρες ἡμῶν. Οὐκ
have-we to-go-away have-fallen-asleep the Fathers our not
ἤρκει γὰρ ἡμῖν τὸ ἐργόχειρον εἰς τὰ ναῦλα τῶν πλοίων,
sufficed for us the handiwork for the fares of-the boats

ἃ παρείχομεν ἀπερχόμενοι παραβαλεῖν τοῖς γέρουσι.
which we-paid going-away to-visit the old-men
Νῦν οὖν ἀπωρφανίσθημεν. Διὰ τοῦτο κἀγὼ κλαίω.
now then we-have-been-orphaned because-of this I-too weep
4 Εἶπεν ὁ ἀββᾶς Ἰσαάκ· Οἶδα ἀδελφὸν θερίζοντα ἐν ἀγρῷ,
said — abba Isaac I-know (a)-brother reaping in (a)-field
καὶ ἠθέλησε φαγεῖν στάχυν σίτου· καὶ εἶπε τῷ κυρίῳ τοῦ
and he-wished to-eat (an)-ear of-grain and said to-the owner of-the
ἀγροῦ· Θέλεις φάγω ἕνα στάχυν σίτου; Ὁ δὲ ἀκούσας,
field do-you-wish I-eat one ear of-grain he and having-heard
ἐθαύμασε, καὶ εἶπεν αὐτῷ· Σός ἐστιν ὁ ἀγρὸς, Πάτερ,
marveled and said to-him yours is the field Father
κἀμὲ ἐρωτᾷς; Ἕως τούτου ἠκριβάζετο ὁ ἀδελφός.
and-me do-you-ask to this(-point) was-scrupulous the brother
5 Εἶπε πάλιν τοῖς ἀδελφοῖς· Μὴ φέρετε ὧδε παιδία.
he-said again to-the brothers not bring here children
Τέσσαρες γὰρ ἐκκλησίαι εἰς Σκῆτιν ἔρημοι γεγόνασι διὰ
four for churches in Scetis deserted have-become because-of
τὰ παιδία.
the children
6 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰσαὰκ, ὅτι τὴν σποδὸν τοῦ
they-said about — abba Isaac that the ash of-the
θυμιατηρίου τῆς προσφορᾶς, μετὰ τοῦ ἄρτου ἤσθιεν αὐτοῦ.
censer of-the offering with the bread he-ate his
7 Ἔλεγεν ὁ ἀββᾶς Ἰσαὰκ τοῖς ἀδελφοῖς, ὅτι Οἱ Πατέρες
said — abba Isaac to-the brothers that the Fathers
ἡμῶν, καὶ ὁ ἀββᾶς Παμβὼ, παλαιὰ πολύρράφα
our and — abba Pambo old much-patched(-garments)
ἐφόρουν καὶ σεβέννια· νῦν δὲ πολύτιμα φορεῖτε. Ὑπάγετε
wore and palm-fiber(-cloths) now but costly(-things) you-wear go
ἔνθεν, ἠρημώσατε τὰ ὧδε. Ὅτε δὲ ἔμελλεν ὑπάγειν
from-here you-have-laid-waste the(-places) here when and he-was-about to-go

εἰς τὸ θέρος, ἔλεγεν αὐτοῖς· Οὐκ ἔτι παρέχω ὑμῖν
to the harvest he-said to-them not any-longer I-give you
ἐντολάς· οὐ φυλάσσετε γάρ.
commandments not you-keep(-them) for
Διηγήσατό τις τῶν Πατέρων, ὅτι ἦλθέ ποτέ τις τῶν 8
related one of-the Fathers that came once one of-the
ἀδελφῶν φορῶν μικρὸν κουσσούλιον εἰς τὴν ἐκκλησίαν
brothers wearing (a)-small hood into the church
τῶν Κελλίων ἐπὶ τοῦ ἀββᾶ Ἰσαάκ· καὶ ἐδίωξεν
of-the Cells in-the-time-of — abba Isaac and drove-out
αὐτὸν ὁ γέρων, λέγων ὅτι, Τὰ ὧδε μοναχῶν ἐστι·
him the old-man saying that the(-places) here of-monks are
σὺ δὲ κοσμικὸς ὢν, οὐ δύνασαι μεῖναι ὧδε.
you but (a)-worldling being not can remain here
Εἶπεν ὁ ἀββᾶς Ἰσαὰκ ὅτι, Οὐδέποτε εἰσήνεγκα εἰς τὸ 9
said — abba Isaac that never I-brought into the
κελλίον μου λογισμὸν κατὰ ἀδελφοῦ θλίψαντός με. Κἀγὼ
cell my (a)-thought against (a)-brother having-afflicted me and-I
ἐσπούδασα μὴ ἀφεῖναι ἀδελφὸν εἰς τὸ κελλίον αὐτοῦ,
was-eager not to-let (a)-brother into the cell his
ἔχοντα κατ᾽ ἐμοῦ λογισμόν.
having against me (a)-thought
Ἠσθένησε μεγάλην ἀσθένειαν ὁ ἀββᾶς Ἰσαὰκ, καὶ 10
fell-ill (with)-(a)-great illness — abba Isaac and
ἐχρόνισεν ἐν αὐτῇ· ἐποίησε δὲ αὐτῷ ὁ ἀδελφὸς μικρὰν
lingered in it made and for-him the brother (a)-little
ἀθήραν, καὶ ἔδωκε μυξάρια εἰς αὐτήν· καὶ οὐκ ἤθελεν ὁ
gruel and put plums in it and not wished the
γέρων γεύσασθαι. Καὶ παρεκάλει ὁ ἀδελφὸς λέγων· Λάβε
old-man to-taste-it and besought the brother saying take
μικρὸν, ἀββᾶ, διὰ τὴν ἀσθένειαν. Καὶ λέγει αὐτῷ ὁ
(a)-little abba because-of the illness and says to-him the

γέρων· Φύσει, ἀδελφὲ, ἤθελον ποιῆσαι ἐν τῇ ἀσθενείᾳ
old-man truly brother I-would-wish to-spend in the illness
ταύτῃ τριάκοντα ἔτη.
this thirty years

11 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰσαὰκ, ὅτι μέλλοντος αὐτοῦ τελευτᾷν,
they-said about — abba Isaac that being-about he to-die
συνῆλθον πρὸς αὐτὸν οἱ γέροντες. καὶ ἔλεγον· Τί ποιήσομεν
came-together to him the old-men and said what shall-we-do
μετὰ σὲ, Πάτερ; Ὁ δὲ εἶπεν· Ἴδετε πῶς ἐπορεύθην ἐνώπιον
after you Father he and said see how I-walked before
ὑμῶν· ἐὰν θέλητε καὶ ὑμεῖς ἀκολουθῆσαι, καὶ φυλάξαι τὰς
you if you-wish also you to-follow and to-keep the
ἐντολὰς τοῦ Θεοῦ, πέμπει τὴν χάριν αὐτοῦ, καὶ φυλάσσει
commandments — of-God he-sends the grace his and guards
τὸν τόπον τοῦτον. Ἐὰν δὲ μὴ φυλάξητε, οὐ μὴ μείνητε ἐν
the place this if but not you-keep not — you-will-remain in
τῷ τόπῳ τούτῳ. Καὶ ἡμεῖς γὰρ ὅταν ἤμελλον ἀποθανεῖν οἱ
the place this also we for when were-about to-die the
Πατέρες ἡμῶν, ἐλυπούμεθα· ἀλλὰ τὰς ἐντολὰς τοῦ Κυρίου
Fathers our we-grieved but the commandments of-the Lord
καὶ αὐτῶν τὰς παραγγελίας τηροῦντες, ἑστήκαμεν, ὡς αὐτῶν
and their the instructions keeping we-have-stood as they
ὄντων μεθ' ἡμῶν. Οὕτως καὶ ὑμεῖς ποιήσατε, καὶ σώζεσθε.
being with us thus also you do and you-are-saved

12 Εἶπεν ὁ ἀββᾶς Ἰσαὰκ, ὅτι Ἔλεγεν ὁ ἀββᾶς Παμβὼ, ὅτι
said — abba Isaac that said — abba Pambo that
τοιοῦτον ὀφείλει ὁ μοναχὸς φορεῖν ἱμάτιον, ὥστε βάλλειν
such ought the monk to-wear (a)-garment so-that to-throw
αὐτὸ ἔξω τοῦ κελλίου ἐπὶ τρεῖς ἡμέρας, καὶ μηδεὶς λάβῃ
it outside the cell for three days and no-one take
αὐτό.
it

Joseph of Panepho shows by changing his clothes that he is the same in rags or robes, and so receives visiting brothers freely and keeps mourning when alone. He tells Poemen to let the passions in and fight them, and a Theban to cut them off at once, each as he can bear it. He lifts his hands and his fingers become ten lamps of fire for Lot, and dying drives off the devil at the window with his staff.

Ἀνῆλθόν τινες τῶν Πατέρων πρὸς τὸν ἀββᾶν Ἰωσὴφ εἰς 1
went-up some of-the Fathers to — abba Joseph at
Πανεφὼ, ἵνα ἐρωτήσωσιν αὐτὸν περὶ τῆς ἀπαντήσεως τῶν
Panepho so-that they-might-ask him about the meeting of-the
ἀδελφῶν τῶν ξενιζομένων πρὸς αὐτοὺς, εἰ χρὴ
brothers the being-entertained-as-guests with them whether one-must
συγκαταβαίνειν καὶ παῤῥησιάζεσθαι πρὸς αὐτούς. Καὶ πρὸ
to-condescend and to-speak-freely with them and before
τοῦ ἐρωτηθῆναι αὐτὸν, εἶπεν ὁ γέρων τῷ μαθητῇ αὐτοῦ·
the to-be-asked him said the old-man to-the disciple his
Κατανόησον ὃ μέλλω ποιεῖν σήμερον, καὶ ὑπόμεινον.
observe what I-am-about to-do today and endure
Καὶ ἔθηκεν ὁ γέρων δύο ἐμβρίμια, ἓν ἐκ δεξιῶν, καὶ ἓν ἐξ
and put the old-man two mats one on (the)-right and one on
ἀριστερῶν αὐτοῦ, καὶ εἶπε· Καθίσατε. Καὶ εἰσῆλθεν εἰς τὴν
(the)-left his and said sit and he-went-in into the
κέλλαν αὐτοῦ, καὶ ἐφόρεσεν ἱμάτια ἐπαιτικά· καὶ ἐξελθὼν
cell his and put-on garments beggarly and having-come-out
ἐπέρασεν ἐν μέσῳ αὐτῶν. Καὶ πάλιν εἰσελθὼν, ἐφόρεσε
passed through (the)-middle of-them and again having-gone-in he-put-on
τὰ ἴδια ἱμάτια· καὶ ἐξελθὼν πάλιν, ἐκάθισεν ἐν μέσῳ
the own garments and having-come-out again he-sat in (the)-middle
αὐτῶν. Αὐτοὶ δὲ ἐξέστησαν ἐπὶ τῷ ἔργῳ τοῦ γέροντος. Καὶ
of-them they and were-amazed at the deed of-the old-man and

εἶπεν αὐτοῖς· Κατενοήσατε ὃ ἐποίησα; Λέγουσι· Ναί. Μὴ
he-said to-them did-you-observe what I-did they-say yes not
ἠλλάγην ἀπὸ τοῦ ἀτίμου φορέματος; Λέγουσιν· Οὔ. Καὶ
was-I-changed by the dishonorable garment they-say no and
λέγει αὐτοῖς· Εἰ οὖν αὐτὸς ἐγώ εἰμι ἐν ἀμφοτέροις· ὡς τὸ
he-says to-them if then the-same I am in both as the
πρῶτον οὐκ ἤλλαξέ με, οὕτως οὐδὲ τὸ δεύτερον ἔβλαψέ
first not changed me thus not-even the second harmed
με· οὕτως οὖν ὀφείλομεν ποιεῖν εἰς τὴν ὑποδοχὴν τῶν
me thus then we-ought to-do in the reception of-the
ξένων ἀδελφῶν, κατὰ τὸ ἅγιον Εὐαγγέλιον. Δότε γὰρ,
stranger brothers according-to the holy Gospel give for
φησὶ, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ
he-says the(-things) of-Caesar to-Caesar and the(-things) — of-God —
Θεῷ. Ὅτε οὖν ἐστι παρουσία ἀδελφῶν, μετὰ παῤῥησίας
to-God when then there-is (a)-visit of-brothers with freedom
δεξώμεθα αὐτούς. Ὅτε δὲ καταμόνας ἐσμὲν, χρείαν ἔχομεν
let-us-receive them when but alone we-are need we-have
τοῦ πένθους, ἵνα παραμείνῃ ἡμῖν. Οἱ δὲ ἀκούσαντες
of-the mourning that it-may-remain with-us they and having-heard
ἐθαύμασαν, ὅτι καὶ τὰ ἐν καρδίᾳ αὐτῶν εἶπεν αὐτοῖς
marveled that also the(-things) in (the)-heart their he-told them
πρὶν ἐρωτήσωσιν αὐτόν· καὶ ἐδόξασαν τὸν Θεόν.
before they-asked him and they-glorified — God

2 Εἶπεν ὁ ἀββᾶς Ποιμὴν τῷ ἀββᾷ Ἰωσήφ· Εἰπέ μοι πῶς
said — abba Poemen — to-abba Joseph tell me how
γένωμαι μοναχός; Καὶ εἶπεν· Εἰ θέλεις εὑρεῖν ἀνάπαυσιν
I-may-become (a)-monk and he-said if you-wish to-find rest
καὶ ὧδε καὶ ἐκεῖ, ἐπὶ παντὶ πράγματι λέγε· Ἐγὼ τίς
both here and there in every matter say I who
εἰμι; καὶ μὴ κρίνῃς τινά.
am and not judge anyone

Ὁ αὐτὸς πάλιν ἠρώτησε τὸν ἀββᾶν Ἰωσὴφ, λέγων· Τί 3
the same again asked — abba Joseph saying what
ποιήσω, ὅταν προσεγγίζῃ τὰ πάθη; Ἀντιστῶ αὐτοῖς, ἢ
shall-I-do when draw-near the passions shall-I-resist them or
ἀφήσω εἰσελθεῖν; Λέγει αὐτῷ ὁ γέρων· Ἄφες αὐτὰ
shall-I-let(-them) to-come-in says to-him the old-man let them
καὶ ἐφόρει λοιπὸν ὡς καὶ οἱ λοιποὶ ἀδελφοὶ, καὶ ἦν
and he-wore thereafter as also the other brothers and it-was(-possible)
ἰδεῖν αὐτὸν ὡς ἄγγελον. Ἐγένετο δέ ποτε χρεία τοῖς
to-see him like (an)-angel it-happened and once need for-the
Πατράσιν, ἀποστεῖλαι δέκα ἀδελφοὺς πρὸς τὸν βασιλέα
Fathers to-send ten brothers to the emperor

διά τινα χρείαν· καὶ ἐψηφίσαντο καὶ αὐτὸν μετὰ τῶν
for some need and they-voted also him with the(-ones)
ὑπαγόντων. Ὡς δὲ ἤκουσεν, ἔβαλε μετάνοιαν τοῖς Πατράσι,
going when and he-heard he-made penitence to-the Fathers
λέγων· Διὰ τὸν Κύριον συγχωρήσατέ μοι, ὅτι δοῦλός
saying for the Lord forgive me for (a)-slave
εἰμί τινος μεγάλου τῶν ἐκεῖ· καὶ ἐὰν γνωρίσῃ με,
I-am of-someone great of-the(-men) there and if he-recognize me
ἀποσχηματίζει με, καὶ φέρει πάλιν εἰς τὸ δουλεύειν αὐτῷ.
he-unfrocks me and brings(-me) again to the to-serve him
Μετὰ οὖν τὸ πεισθῆναι τοὺς Πατέρας, καὶ ἀφεῖναι αὐτὸν,
after then the to-be-persuaded the Fathers and to-let-off him
ἔμαθον ὕστερον παρά τινος ἀκριβῶς ἐπισταμένου αὐτὸν, ὅτι
I-learned later from someone accurately knowing him that
ὅτε ἦν ἐν τῷ κόσμῳ, ἔπαρχος πραιτωρίων ὑπῆρχε· καὶ
when he-was in the world (a)-prefect of-the-praetorians he-was and
ἵνα μὴ γνωσθῇ, καὶ ὄχλησιν εὕρῃ ἐκ τῶν ἀνθρώπων,
so-that not he-be-recognized and trouble find from the men
τοῦτο προεφασίσατο. Τοσαύτη ἦν σπουδὴ τοῖς Πατράσι,
this he-pretended so-great was zeal for-the Fathers
φεύγειν τὴν δόξαν καὶ τὴν ἀνάπαυσιν τοῦ κόσμου τούτου.
to-flee the glory and the rest of-the world this

Carion leaves his wife and children for Scetis; in a famine he takes his son Zacharias, and when the Fathers murmur the boy plunges into the natron lake and comes out as if leprous, and it is revealed to Isidore that he who communicated as a man has become as an angel.

Εἶπεν ὁ ἀββᾶς Καρίων, ὅτι Πολλοὺς κόπους ἐποίησα, 1
said — abba Carion that many toils I-made
πλέον τοῦ υἱοῦ μου Ζαχαρίου, καὶ οὐκ ἔφθασα εἰς τὰ
more than-the son my Zacharias and not I-reached to the
μέτρα αὐτοῦ, ἐν τῇ ταπεινώσει καὶ ἐν τῇ σιωπῇ αὐτοῦ.
measures his in the humility and in the silence his
Γέγονέ τις ἐν τῇ Σκήτει μοναχὸς, ἀββᾶς Καρίων 2
there-was a-certain in — Scetis monk abba Carion
λεγόμενος. Οὗτος ἐσχηκὼς δύο τέκνα, ἐάσας αὐτὰ τῇ
called this(-man) having-had two children having-left them to-the
ἰδίᾳ γυναικὶ, ἀνεχώρησε. Μετὰ δὲ καιρὸν, λιμοῦ γενομένου
own wife withdrew after and (a)-time famine having-come
ἐν τῇ Αἰγύπτῳ, στενωθεῖσα ἡ γυνὴ αὐτοῦ, ἦλθεν ἐν τῇ
in — Egypt hard-pressed the wife his came to —
Σκήτει φέρουσα τὰ δύο παιδία μεθ' ἑαυτῆς (ἦν δὲ τὸ ἓν
Scetis bringing the two children with herself was and the one
ἀῤῥένικὸν λεγόμενον Ζαχαρίας, καὶ τὸ ἓν θηλυκὸν), καὶ
male called Zacharias and the one female and
καθίσασα πόῤῥωθεν τοῦ γέροντος ἐν τῷ ἕλει· ἕλος
having-sat far-off from-the old-man in the marsh (a)-marsh
γὰρ παράκειται ἐν τῇ Σκήτει, ἔνθα καὶ αἱ ἐκκλησίαι
for lies-near in — Scetis where also the churches
ᾠκοδόμηνται, καὶ αἱ πηγαὶ τῶν ὑδάτων εἰσί. Συνήθεια
have-been-built and the springs of-the waters are (a)-custom

δὲ τοιαύτη ἦν ἐν τῇ Σκήτει, ἵνα ἔλθῃ γυνὴ, λαλῆσαι
and such was in — Scetis that should-come (a)-woman to-speak
ἀδελφῷ αὐτῆς, ἢ ἄλλῳ διαφέροντι αὐτῇ, ἀπὸ μακρόθεν
to-brother her or other belonging to-her from far-off
καθεζομένων αὐτῶν ἀπ᾽ ἀλλήλων ὁμιλῶσιν ἀλλήλοις.
sitting they apart-from each-other they-converse with-each-other
Τότε λέγει ἡ γυνὴ τῷ ἀββᾷ Καρίωνι· Ἰδοὺ γέγονας
then says the woman — to-abba Carion behold you-have-become
μοναχὸς, καὶ λιμός ἐστι· τίς οὖν τρέφει τὰ τέκνα σου;
(a)-monk and famine there-is who then feeds the children your
Λέγει αὐτῇ ὁ ἀββᾶς Καρίων· Καὶ ἀπόστειλόν μοι αὐτὰ
says to-her — abba Carion and send me them
ὧδε. Λέγει ἡ γυνὴ τοῖς τέκνοις· Ἀπέλθετε πρὸς τὸν
here says the woman to-the children go-away to the
πατέρα ὑμῶν. Ἐρχομένων οὖν αὐτῶν πρὸς τὸν πατέρα
father your coming then they to the father
αὐτῶν, τὸ θηλυκὸν ὑπέστρεψε πρὸς τὴν μητέρα αὐτοῦ,
their the female returned to the mother her
τὸ δὲ ἀῤῥένικὸν ἦλθε πρὸς τὸν ἴδιον πατέρα. Τότε λέγει
the and male came to the own father then he-says
αὐτῇ· Ἰδοὺ καλῶς ἐγένετο· λάβε σὺ τὸ θηλυκὸν καὶ
to-her behold well it-happened take you the female and
ἄπελθε, κἀγὼ τὸ ἀῤῥένικόν. Ἀνέτρεφεν οὖν αὐτὸ ἐν τῇ
go-away and-I the male he-brought-up then him in —
Σκήτει, πάντων εἰδότων ὅτι τέκνον αὐτοῦ ἐστιν. Ὡς δὲ
Scetis all knowing that (the)-child his he-is when and
ἡλικίας γέγονε, γογγυσμὸς ἐγένετο ἐν τῇ ἀδελφότητι περὶ
of-age he-became (a)-murmuring arose in the brotherhood about
αὐτοῦ. Καὶ ἀκούσας ὁ ἀββᾶς Καρίων, λέγει τῷ τέκνῳ
him and having-heard — abba Carion he-says to-the child
αὐτοῦ· Ζαχαρία, ἔγειρε, ἄγωμεν ἐντεῦθεν, ὅτι γογγύζουσιν
his Zacharias rise let-us-go from-here for murmur

οἱ Πατέρες. Λέγει αὐτῷ ὁ μικρός· Ἀββᾶ, πάντες οἴδασιν
the Fathers says to-him the little(-one) abba all know
ἐνταῦθα ὅτι υἱός σού εἰμι· ἐὰν δὲ ἄλλῃ ἀπέλθωμεν,
here that (the)-son your I-am if but elsewhere we-go-away
οὐκ ἔχουσι λέγειν ὅτι υἱός σού εἰμι. Καὶ λέγει αὐτῷ
not they-are-able to-say that (the)-son your I-am and says to-him
ὁ γέρων· Ἔγειρε, ἄγωμεν ἐντεῦθεν. Καὶ ἀπῆλθον ἐν τῇ
the old-man rise let-us-go from-here and they-went-away to —
Θηβαΐδι. Ὡς δὲ λαβόντες κελλίον ἐκάθισαν ὀλίγας ἡμέρας,
(the)-Thebaid when and having-taken (a)-cell they-sat (a)-few days
κἀκεῖ ὁ αὐτὸς γογγυσμὸς γέγονε περὶ τοῦ παιδίου. Τότε
there-too the same murmuring arose about the child then
λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· Ζαχαρία, ἔγειρε, ἄγωμεν ἐν
says to-him the father his Zacharias rise let-us-go to
τῇ Σκήτει. Καὶ ἐλθόντων αὐτῶν ἐν τῇ Σκήτει, καὶ ὀλίγων
— Scetis and having-come they to — Scetis and (a)-few
ἡμερῶν παρελθουσῶν, πάλιν γογγυσμὸς ἐγένετο περὶ αὐτοῦ.
days having-passed again (a)-murmuring arose about him
Τότε Ζαχαρίας ὁ παῖς, ἐλθὼν εἰς τὴν λίμνην τοῦ νίτρου,
then Zacharias the boy having-come to the lake of-the natron
καὶ ἀποδυσάμενος, κατῆλθε κάτω μέχρι τῆς ῥινὸς αὐτοῦ
and having-stripped went-down down to the nose his
καταβαπτίσας ἑαυτόν· καὶ μείνας ἐπὶ πολλὴν ὥραν,
having-plunged himself and having-remained for much hour
ὅσην ἠδύνατο, ἠφάνισε τὸ ἑαυτοῦ σῶμα· γέγονε γὰρ ὡς
as-much-as he-could he-disfigured the his-own body it-became for as-if
λελωβημένος. Καὶ ἀνελθὼν ἐφόρεσε τὰ ἱμάτια αὐτοῦ, καὶ
leprous and having-come-up he-put-on the garments his and
ἀπῆλθε πρὸς τὸν ἴδιον πατέρα· καὶ μόλις ἐπέγνω αὐτόν.
went-away to the own father and barely he-recognized him
Ἀπελθόντος δὲ αὐτοῦ εἰς τὴν ἁγίαν κοινωνίαν κατὰ τὸ
having-gone-away and he to the holy communion according-to the

ἔθος, ἀπεκαλύφθη τῷ ἁγίῳ Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ τῆς
custom it-was-revealed to-the holy Isidore the priest —
Σκήτεως, ὅπερ ἐποίησε· καὶ ἰδὼν αὐτὸν καὶ θαυμάσας,
of-Scetis what he-had-done and having-seen him and having-marveled
εἶπε· Ζαχαρίας ὁ παῖς τῇ Κυριακῇ παρελθούσῃ ἦλθε καὶ
he-said Zacharias the boy on-the Lord's-day past came and
ἐκοινώνησεν ὡς ἄνθρωπος, νῦν δὲ ὡς ἄγγελος ἐγένετο.
communicated as (a)-man now but as (an)-angel he-has-become

LXVII · COPRES

Copres gives thanks bedridden, and, called late to a debate on Melchizedek, strikes his mouth for searching what God has not asked of him.

1 Ἔλεγεν ὁ ἀββᾶς Ποιμὴν διὰ τὸν ἀββᾶν Κόπριν, ὅτι
said — abba Poemen about — abba Copres that
εἰς τοσοῦτον ἦλθε μέτρον, ὅτι ἠσθένει καὶ κλινήρης ἦν,
to so-great he-came (a)-measure that he-was-ill and bedridden he-was
καὶ εὐχαρίστει, καὶ ἐκώλυε τὸ ἴδιον θέλημα.
and gave-thanks and restrained the own will

2 Εἶπεν ὁ ἀββᾶς Κόπρις· Μακάριος ὁ ὑπομένων κόπον
said — abba Copres blessed the(-one) enduring toil
μετ' εὐχαριστίας.
with thanksgiving

3 Συνήχθησάν ποτε οἱ ἐν τῇ Σκήτει περὶ τοῦ Μελχισεδὲκ,
were-gathered once the(-ones) in — Scetis about — Melchizedek
καὶ ἐπελάθοντο καλέσαι τὸν ἀββᾶν Κόπριν· ὕστερον δὲ
and they-forgot to-call — abba Copres later and
καλέσαντες αὐτὸν, ἠρώτων περὶ τούτου. Ὁ δὲ, τύψας
having-called him they-asked about this he and having-struck
τὸ στόμα αὐτοῦ ἐπὶ τρεῖς, εἶπεν· Οὐαί σοι, Κόπρι! ὅτι
the mouth his for three(-times) said woe to-you Copres for

ἃ ὁ Θεὸς ἐνετείλατό σοι ποιῆσαι ἐγκατέλειπες, καὶ ἃ
what — God commanded you to-do you-abandoned and what
οὐ ζητεῖ παρὰ σοῦ ἐρευνᾷς. Καὶ ἀκούσαντες οἱ ἀδελφοὶ
not he-seeks from you you-search and having-heard the brothers
ταῦτα, ἔφυγον εἰς τὰ κελλία αὐτῶν.
these(-things) fled to the cells their

LXVIII · CYRUS

Cyrus of Alexandria says one without thoughts of fornication has the deed instead, and bids a brother troubled by old images fear the living, not the dead.

Πρὸς τὸν λογισμὸν τῆς πορνείας, ἐπερωτηθεὶς ὁ ἀββᾶς 1
regarding the thought of-the fornication having-been-asked — abba
Κῦρος ὁ Ἀλεξανδρεὺς, ἀπεκρίνατο οὕτως· Ἐὰν λογισμὸν
Cyrus the Alexandrian answered thus if (a)-thought
οὐκ ἔχῃς, ἐλπίδα οὐκ ἔχεις· ἐὰν λογισμοὺς οὐκ ἔχῃς,
not you-have hope not you-have if thoughts not you-have
πρᾶξιν ἔχεις. Τοῦτο δέ ἐστιν, ὅτι ὁ κατὰ διάνοιαν
(the)-deed you-have this and is that the(-one) in mind
πρὸς τὴν ἁμαρτίαν μὴ πολεμῶν, μηδὲ ἀντιλέγων,
against the sin not fighting nor contradicting
σωματικῶς πράττει αὐτήν. Ὁ γὰρ ἔχων πράξεις
bodily does it the(-one) for having deeds
διὰ λογισμῶν οὐκ ὀχλεῖται. Ἠρώτησε δὲ ὁ γέρων τὸν
through thoughts not is-troubled asked and the old-man the
ἀδελφὸν, λέγων. Μὴ συνήθειαν ἔχεις εἰς ὁμιλίαν γυναικός;
brother saying not (a)-habit have-you of conversation of-(a)-woman
Καὶ εἶπεν ὁ ἀδελφός· Οὔ· παλαιοὶ καὶ νέοι ζωγράφοι εἰσὶν
and said the brother no old and new painters are
οἱ λογισμοί μου· μνῆμαί εἰσιν ὀχλοῦσαί μοι, καὶ γυναικῶν
the thoughts my memories are troubling me and of-women

εἴδωλα. Ὁ δὲ γέρων πρὸς αὐτόν· Νεκροὺς μὴ φοβοῦ· ἀλλὰ
images the and old-man to him (the)-dead not fear but
τοὺς ζῶντας φεῦγε, καὶ ἐπεκτείνου μᾶλλον εἰς προσευχήν.
the living flee and stretch-out rather into prayer

LXIX · LUCIUS

Lucius shows the Euchites, who refuse handiwork to pray without ceasing, that he prays while he plaits and his alms pray for him while he eats and sleeps.

1 Παρέβαλόν ποτέ τινες τῷ ἀββᾷ Λουκίῳ εἰς τὸ Ἔνατον,
visited once some — to-abba Lucius at the Enaton
οἱ λεγόμενοι Εὐκτῖται, μοναχοί· καὶ ἠρώτησεν αὐτοὺς
the(-ones) called Euchites monks and asked them
ὁ γέρων· Τί τὸ ἐργόχειρον ὑμῶν; Οἱ δὲ εἶπον·
the old-man what (is)-the handiwork your they and said
Ἡμεῖς οὐ ψηλαφῶμεν ἐργόχειρον· ἀλλὰ, καθὼς λέγει
we not we-touch handiwork but as says
ὁ Ἀπόστολος, ἀδιαλείπτως προσευχόμεθα. Καὶ λέγει ὁ
the Apostle unceasingly we-pray and says the
γέρων· Οὐκ ἐσθίετε; Καὶ εἶπον· Ναί. Καὶ λέγει αὐτοῖς·
old-man not do-you-eat and they-said yes and he-says to-them
Ὅτε οὖν ἐσθίετε, τίς εὔχεται ὑπὲρ ὑμῶν; Πάλιν οὖν
when then you-eat who prays for you again then
εἶπεν αὐτοῖς· Οὐ κοιμᾶσθε; Καὶ εἶπον· Ναί. Καὶ λέγει
he-said to-them not do-you-sleep and they-said yes and says
ὁ γέρων· Ὅτε οὖν κοιμᾶσθε, τίς εὔχεται περὶ ὑμῶν; Καὶ
the old-man when then you-sleep who prays for you and
οὐχ εὗρον πρὸς ταῦτα ἀποκρίνασθαι αὐτῷ. Καὶ εἶπεν
not they-found to these(-things) to-answer him and he-said
αὐτοῖς· Συγχωρήσατέ μοι, ἰδοὺ οὐ ποιεῖτε καθὼς λέγετε.
to-them forgive me behold not you-do as you-say

Ἐγὼ δὲ δεικνύω ὑμῖν, ὅτι ἐργαζόμενος τὸ ἐργόχειρόν μου
I but show you that working the handiwork my
ἀδιαλείπτως προσεύχομαι. Καθέζομαι σὺν Θεῷ βρέξας τὰ
unceasingly I-pray I-sit with God having-soaked the
μικρά μου θαλλία· καὶ πλέκων αὐτὰ σειρὰν, λέγω· Ἐλέησόν
little my palm-shoots and plaiting them (a)-rope I-say have-mercy-on
με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ
me O God according-to the great mercy your and according-to the
πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
multitude of-the compassions your blot-out the transgression my
Καὶ λέγει αὐτοῖς· Οὐκ ἔστιν εὐχὴ τοῦτο; Καὶ εἶπον· Ναί.
and he-says to-them not is (a)-prayer this and they-said yes
Καὶ εἶπεν αὐτοῖς· Ὅταν οὖν ἐμμείνω δι' ὅλης ἡμέρας
and he-said to-them when then I-continue through (the)-whole day
ἐργαζόμενος καὶ εὐχόμενος, ποιῶ πλεῖον ἢ ἔλαττον δεκαὲξ
working and praying I-make more or less sixteen
νουμία· καὶ παρέχω ἐξ αὐτῶν εἰς τὴν θύραν δύο, καὶ τὰ
coins and I-give of them at the door two and the
λοιπὰ ἐσθίω· καὶ εὔχεται ὑπὲρ ἐμοῦ ὁ λαβὼν τὰ δύο
rest I-eat and prays for me the(-one) having-taken the two
νουμία ὅτε ἐσθίω ἢ ὅτε κοιμῶμαι· καὶ διὰ τῆς χάριτος
coins when I-eat or when I-sleep and through the grace
τοῦ Θεοῦ πληροῦταί μοι τὸ ἀδιαλείπτως προσεύχεσθαι.
— of-God is-fulfilled for-me the unceasingly to-pray

Lot, on Arsenius' advice, lets an Origenist leave of his own accord, and bears half the sin of a brother who fell into fornication and sacrifice until God accepts his repentance.

1 Ἦλθέ τις τῶν γερόντων πρὸς τὸν ἀββᾶν Λὼτ, πρὸς τὸ
came one of-the old-men to — abba Lot at the
μικρὸν ἕλος τοῦ Ἀρσενοΐτου, καὶ παρεκάλεσεν αὐτὸν διὰ
little marsh of-the Arsinoite and besought him for
κελλίον, καὶ ἔδωκεν αὐτῷ. Ἦν δὲ ὁ γέρων ἀσθενής·
(a)-cell and he-gave(-it) to-him was and the old-man sick
καὶ ἀνέπαυσεν αὐτὸν ὁ ἀββᾶς Λώτ· καὶ εἰ ἤρχοντό τινες
and gave-rest him — abba Lot and if came some
παραβαλεῖν τῷ ἀββᾷ Λὼτ, ἐποίει αὐτοὺς παραβαλεῖν καὶ
to-visit — to-abba Lot he-made them to-visit also
τῷ γέροντι τῷ ἀσθενεῖ. Καὶ ἤρξατο λαλεῖν αὐτοῖς λόγους
to-the old-man the sick and he-began to-speak to-them words
τοῦ Ὠριγένους· καὶ ἐθλίβετο ὁ ἀββᾶς Λὼτ, λέγων· Μὴ
— of-Origen and was-distressed — abba Lot saying lest
καὶ νομίσωσιν οἱ Πατέρες, ὅτι καὶ ἡμεῖς οὕτως ἐσμέν· καὶ
also think the Fathers that also we thus are and
ἐκβαλεῖν αὐτὸν ἐκ τοῦ τόπου ἐφοβεῖτο διὰ τὴν ἐντολήν.
to-cast-out him from the place he-feared because-of the commandment
Καὶ ἀναστὰς ὁ ἀββᾶς Λὼτ, ἦλθε πρὸς τὸν ἀββᾶν
and having-risen — abba Lot came to — abba
Ἀρσένιον, καὶ διηγήσατο αὐτῷ περὶ τοῦ γέροντος. Καὶ λέγει
Arsenius and related to-him about the old-man and says
αὐτῷ ὁ ἀββᾶς Ἀρσένιος· Μὴ διώξῃς αὐτὸν, ἀλλ' εἰπὲ αὐτῷ·
to-him — abba Arsenius not drive-out him but tell him
Ἰδοὺ ἐκ τῶν τοῦ Θεοῦ φάγε, πίε, ὡς θέλεις, μόνον τὸν
behold from the(-things) — of-God eat drink as you-wish only the

λόγον τοῦτον μὴ λαλήσῃς· καὶ ἐὰν θέλῃ, διορθοῦται· εἰ
word this not speak and if he-wishes he-is-corrected if
δὲ μὴ θέλῃ διορθώσασθαι, ἀφ' ἑαυτοῦ μέλλει παρακαλεῖν
but not he-wishes to-be-corrected of himself he-is-about to-ask
τοῦ ἀναχωρῆσαι ἐκ τοῦ τόπου· καὶ οὐκ ἀπὸ σοῦ γίνεται
for-the to-withdraw from the place and not from you comes
ἡ ἀφορμή. Ἀπελθὼν οὖν ὁ ἀββᾶς Λὼτ ἐποίησεν οὕτως.
the occasion having-gone-away then — abba Lot did thus
Καὶ ὁ γέρων ὡς ἤκουσε ταῦτα, οὐκ ἤθελε διορθώσασθαι·
and the old-man when he-heard these(-things) not wished to-be-corrected
ἀλλ' ἔβαλε παρακαλεῖν λέγων· Διὰ τὸν Κύριον πέμψατέ
but began to-ask saying for the Lord send
με ἐντεῦθεν, ὅτι οὐκ ἔτι δύναμαι βαστάξαι τὴν ἔρημον.
me from-here for not any-longer I-am-able to-bear the desert
Καὶ οὕτως ἀναστὰς ἐξῆλθε, προπεμπόμενος μετὰ ἀγάπης.
and thus having-risen he-went-out being-sent-off with love
Διηγήσατό τις περί τινος ἀδελφοῦ ἐμπεσόντος εἰς 2
related someone about a-certain brother having-fallen into
ἁμαρτίαν, ὅτι παραβάλλων τῷ ἀββᾷ Λὼτ, ἐταράσσετο
sin that visiting — to-abba Lot he-was-troubled
εἰσερχόμενος καὶ ἐξερχόμενος, μὴ δυνάμενος καθίσαι. Καὶ
coming-in and going-out not being-able to-sit and
λέγει αὐτῷ ὁ ἀββᾶς Λώτ· Τί ἔχεις, ἀδελφέ; Ὁ δὲ
says to-him — abba Lot what have-you brother he and
εἶπεν· Ἁμαρτίαν μεγάλην ἐποίησα, καὶ οὐ δύναμαι ἐξειπεῖν
said (a)-sin great I-did and not I-can tell-out
τοῖς Πατράσι. Λέγει ὁ γέρων· Ὁμολόγησόν μοι αὐτὴν,
to-the Fathers says the old-man confess to-me it
κἀγὼ βαστάζω αὐτήν. Τότε εἶπεν αὐτῷ· Εἰς πορνείαν
and-I bear it then he-said to-him into fornication
ἔπεσον, καὶ ἔθυσα τοῦ τυχεῖν τοῦ πράγματος. Καὶ λέγει
I-fell and I-sacrificed for-the to-obtain the matter and says

αὐτῷ ὁ γέρων· Θάρσει ὅτι ἔστι μετάνοια· ὕπαγε, κάθου
to-him the old-man take-courage for there-is repentance go sit
εἰς τὸ σπήλαιον, καὶ νήστευσον δύο δύο, κἀγὼ
in the cave and fast two(-days) two(-days) and-I
βαστάζω μετὰ σοῦ τὸ ἥμισυ τῆς ἁμαρτίας. Πληρωθεισῶν
bear with you the half of-the sin having-been-completed
οὖν τῶν τριῶν ἑβδομάδων, ἐπληροφορήθη ὁ γέρων ὅτι
then the three weeks was-assured the old-man that
ἐδέξατο ὁ Θεὸς τὴν μετάνοιαν τοῦ ἀδελφοῦ. Καὶ ἔμεινεν
accepted — God the repentance of-the brother and he-remained
ὑποτασσόμενος τῷ γέροντι ἕως τοῦ θανάτου αὐτοῦ.
submitting to-the old-man until the death his

LXXI · LONGINUS

Longinus learns from Lucius to master his tongue, his thoughts, and himself among men before living as a stranger or alone. He cures a woman's cancer while calling himself an impostor, and a demon leaving Zeno's patient says it fears Longinus' prayers; the soul knows it has conceived the Spirit when its passions stop flowing.

1 Ἠρώτησεν ὁ ἀββᾶς Λογγῖνος τὸν ἀββᾶν Λούκιόν ποτε τρεῖς
asked — abba Longinus — abba Lucius once three
λογισμοὺς, λέγων· Θέλω ξενιτεῦσαι. Λέγει αὐτῷ ὁ γέρων·
thoughts saying I-wish to-live-as-a-stranger says to-him the old-man
Ἐὰν μὴ κρατήσῃς τῆς γλώσσης σου, οὐκ εἶ ξένος, ὅπου
unless — you-master the tongue your not you-are (a)-stranger where
ἐὰν ἀπέλθῃς. Καὶ ὧδε οὖν κράτησον τῆς γλώσσης σου, καὶ
— you-go-away and here then master the tongue your and
ξένος εἶ. Λέγει αὐτῷ πάλιν· Θέλω νηστεῦσαι. Ἀπεκρίθη
(a)-stranger you-are says to-him again I-wish to-fast answered
ὁ γέρων· Εἶπεν Ἡσαΐας ὁ προφήτης· Ἐὰν κάμψῃς ὡς
the old-man said Isaiah the prophet if you-bend like

κλοιὸν καὶ κρίκον τὸν τράχηλόν σου, οὐδὲ οὕτως κληθήσεται
(a)-collar and (a)-ring the neck your not-even thus will-be-called
νηστεία δεκτή· ἀλλὰ μᾶλλον κράτησον τῶν πονηρῶν
(a)-fast acceptable but rather master the evil
λογισμῶν. Λέγει αὐτῷ τὸ τρίτον· Θέλω φυγεῖν τοὺς
thoughts says to-him the third(-time) I-wish to-flee the
ἀνθρώπους. Ἀπεκρίθη ὁ γέρων· Ἐὰν μὴ πρῶτον κατορθώσῃς
men answered the old-man unless — first you-succeed
μετὰ τῶν ἀνθρώπων, οὐδὲ καταμόνας δύνασαι κατορθῶσαι.
with the men not-even alone you-can succeed
Εἶπεν ὁ ἀββᾶς Λογγῖνος· Ἅπαξ κακωθεὶς λέγε, Καὶ 2
said — abba Longinus once afflicted say also
κακώθητι, καὶ ἀπόθανον· ἐὰν δὲ ἀπαιτήσῃς με παρὰ καιρὸν
be-afflicted and die if but you-demand me out-of season
φαγεῖν, οὐδὲ τὴν καθημερινήν σοι τροφὴν προσφέρω
to-eat not-even the daily to-you food I-bring
Γυνή τις ἔχουσα πάθος κατὰ τοῦ μασθοῦ αὐτῆς, 3
woman a-certain having (an)-affliction on the breast her
τὸ λεγόμενον καρκίνον, ἀκούσασα περὶ τοῦ ἀββᾶ
the(-thing) called cancer having-heard about — abba
Λογγίνου, ἐζήτησε συντυχεῖν αὐτῷ. Ἐκάθητο οὖν οὗτος
Longinus sought to-meet him he-sat then he
ἐν τῷ ἐνάτῳ σημείῳ Ἀλεξανδρείας. Ἐπιζητούσης δὲ τῆς
at the ninth milestone of-Alexandria seeking and the
γυναικὸς, συνέβη τὸν μακάριον ἐκεῖνον συλλέγειν ξύλα
woman it-happened the blessed that(-man) to-gather wood
παρὰ τὴν θάλασσαν. Καὶ εὑροῦσα αὐτὸν, λέγει αὐτῷ·
by the sea and having-found him she-says to-him
Ἀββᾶ, ποῦ μένει ὁ ἀββᾶς Λογγῖνος ὁ δοῦλος τοῦ Θεοῦ;
abba where stays — abba Longinus the servant — of-God
μὴ εἰδυῖα ὅτι αὐτός ἐστιν. Ὁ δέ φησι· Τί θέλεις τὸν
not knowing that he it-is he and says why do-you-want the

ἐπιθέτην ἐκεῖνον; μὴ ἀπέλθῃς πρὸς αὐτόν· ἐπιθέτης γάρ
impostor that not go-away to him (an)-impostor for
ἐστι. Τί δέ ἐστιν ὃ ἔχεις; Ἡ δὲ γυνὴ ἔδειξε τὸ
he-is what and is (it)-which you-have the and woman showed the
πάθος. Ὁ δὲ σφραγίσας τὸν τόπον, ἀπέλυσεν αὐτὴν,
affliction he and having-sealed the place sent-away her
εἰπών· Ἄπελθε, καὶ ὁ Θεός σε θεραπεύει· Λογγῖνος γὰρ
having-said go-away and — God you heals Longinus for
οὐδέν σε δύναται ὠφελῆσαι. Ἀπῆλθε δὲ ἡ γυνὴ πιστεύσασα
nothing you can benefit went-away and the woman having-believed
τῷ λόγῳ, καὶ ἐθεραπεύθη παραχρῆμα. Μετὰ ταῦτα
the word and was-healed at-once after these(-things)
διηγησαμένη τισὶ τὸ πρᾶγμα, καὶ τὰ σημεῖα εἰποῦσα τοῦ
having-related to-some the matter and the marks having-told of-the
γέροντος, μανθάνει ὅτι αὐτός ἐστιν ὁ ἀββᾶς Λογγῖνος.
old-man she-learns that he it-is — abba Longinus
4 Ἄλλοτε πάλιν φέρουσιν αὐτῷ τινες δαιμονιῶντα. Ὁ δέ
another-time again bring to-him some (a)-demoniac he and
φησιν πρὸς αὐτούς· Ἐγώ τι ποιῆσαι ὑμῖν οὐκ ἔχω·
says to them I anything to-do for-you not have
ἀλλὰ μᾶλλον ἀπέλθετε πρὸς τὸν ἀββᾶν Ζήνωνα. Εἶτα
but rather go-away to — abba Zeno then
ὁ ἀββᾶς Ζήνων ἤρξατο ἐπικεῖσθαι τῷ δαίμονι ἐκδιώκων
— abba Zeno began to-press-upon the demon driving-out
αὐτόν. Καὶ ἤρξατο βοᾶν ὁ δαίμων· Ἄρτι νομίζεις, ἀββᾶ
him and began to-shout the demon now you-think abba
Ζήνων, ὅτι διὰ σὲ ἐξέρχομαι· ἰδοὺ ὁ ἀββᾶς Λογγῖνος
Zeno that because-of you I-go-out behold — abba Longinus
ἐκεῖ προσεύχεται, κατ᾽ ἐμοῦ ἐντυγχάνων· καὶ φοβούμενος
there prays against me interceding and fearing
τὰς εὐχὰς αὐτοῦ ἐξέρχομαι, ἐπεὶ οὐκ ἐδίδουν σοι ἀπόκρισιν.
the prayers his I-go-out since not I-would-give you (an)-answer

Εἶπεν ὁ ἀββᾶς Λογγῖνος τῷ ἀββᾷ Ἀκακίῳ· Ἡ γυνὴ 5
said — abba Longinus — to-abba Acacius the woman
τότε γινώσκει ὅτι συνέλαβεν, ὅταν σταλῇ τὸ αἷμα αὐτῆς.
then knows that she-conceived when is-stopped the blood her
Οὕτως οὖν καὶ ἡ ψυχὴ, τότε γινώσκει ὅτι συνέλαβε
thus then also the soul then knows that it-conceived
Πνεῦμα ἅγιον, ὅταν σταλῇ τὰ ῥέοντα ἀπ᾽ αὐτῆς κάτωθεν
(the)-Spirit holy when are-stopped the flowing from it below
πάθη. Ἐν ὅσῳ δὲ ἐνέχεται ἐν αὐτοῖς, πῶς δύναται
passions in as-much but it-is-held in them how can-it
κενοδοξεῖν ὡς ἀπαθής; Δὸς αἷμα, καὶ λάβε Πνεῦμα.
be-vainglorious as passionless give blood and receive Spirit

LXXII · MATOES

Matoes prefers light and lasting work to hard work soon dropped, and says the nearer a man draws to God the more he sees himself a sinner. Satan sows every passion and waters the one the soul inclines to; slander has a cure in repentance, fornication is death. Ordained a priest with his brother against his will, he never offers the sacrifice, and he gives a brother a whole rule of humility, sitting alone himself from weakness, not virtue.

Ἔλεγεν ὁ ἀββᾶς Ματόης· Θέλω ἐργασίαν ἐλαφρὰν καὶ 1
said — abba Matoes I-want work light and
ἐμμένουσαν, ἢ ἐπίπονον ἐξ ἀρχῆς καὶ ταχέως
lasting rather-than laborious from (the)-beginning and quickly
ἐκκοπτομένην.
cut-off

2 Εἶπε πάλιν· Ὅσον ἐγγίζει ἄνθρωπος τῷ Θεῷ, τοσοῦτον
he-said again as-much-as draws-near (a)-man — to-God so-much
ἁμαρτωλὸν ἑαυτὸν βλέπει. Ἡσαΐας γὰρ ὁ προφήτης
sinful himself he-sees Isaiah for the prophet
ἰδὼν τὸν Θεὸν, τάλαν καὶ ἀκάθαρτον ἔλεγεν ἑαυτόν.
having-seen — God wretched and unclean called himself

3 Ἔλεγε πάλιν· Ὅτε ἤμην νεώτερος, ἔλεγον ἐν ἑαυτῷ ὅτι,
he-said again when I-was younger I-said in myself that
Τάχα τί ποτε ἐργάζομαι ἀγαθόν· νῦν δὲ ὡς ἐγήρασα,
perhaps something ever I-work good now but as I-have-grown-old
βλέπω ὅτι οὐκ ἔχω ἓν ἔργον καλὸν ἐν ἐμαυτῷ.
I-see that not I-have one work good in myself

4 Εἶπε πάλιν· Οὐκ οἶδεν ὁ Σατανᾶς ποίῳ πάθει ἡττᾶται
he-said again not knows — Satan by-what passion is-overcome
ἡ ψυχή. Σπείρει μὲν, ἀλλ' οὐκ οἶδεν εἰ θερίσει· τοὺς
the soul he-sows indeed but not he-knows whether he-will-reap the
μὲν περὶ πορνείας, τοὺς δὲ περὶ καταλαλιᾶς λογισμοὺς,
indeed about fornication the but about slander thoughts
καὶ ὁμοίως τὰ λοιπὰ πάθη. Καὶ εἰς οἷον πάθος ἴδῃ
and likewise the other passions and to whatever passion he-sees
τὴν ψυχὴν κλίνασαν, χορηγεῖ αὐτῇ.
the soul having-inclined he-supplies it

5 Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ματώῃ, καὶ λέγει αὐτῷ·
(a)-brother visited — to-abba Matoes and says to-him
Πῶς οἱ Σκητιῶται ἐποίουν περισσότερον τῆς Γραφῆς,
how the Scetiotes did more than-the Scripture
ἀγαπῶντες τοὺς ἐχθροὺς αὐτῶν ὑπὲρ ἑαυτούς; Λέγει αὐτῷ
loving the enemies their above themselves says to-him
ὁ ἀββᾶς Ματώης· Ἐγὼ τέως τὸν ἀγαπῶντά με
— abba Matoes I for-my-part the(-one) loving me
οὐκ ἀγαπῶ ὡς ἐμαυτόν.
not love as myself

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ματώην· Τί ποιήσω ἐὰν 6
(a)-brother asked — abba Matoes what shall-I-do if
παραβάλῃ μοι ἀδελφὸς, καὶ ἔστι νηστεία ἢ πρωΐ; ὅτι
he-visits me (a)-brother and it-is (a)-fast or early-morning for
θλίβομαι. Καὶ λέγει αὐτῷ ὁ γέρων· Ἐὰν μὲν οὐ θλίβῃ,
I-am-distressed and says to-him the old-man if indeed not you-are-distressed
καὶ φάγῃς μετὰ τοῦ ἀδελφοῦ, καλῶς ποιεῖς. Ἐὰν δὲ μὴ
and you-eat with the brother well you-do if but not
προσδοκᾷς τινα, καὶ φάγῃς, τοῦτο σὸν θέλημά ἐστιν.
you-expect anyone and you-eat this your will is
Εἶπεν ὁ ἀββᾶς Ἰακὼβ ὅτι, Παρέβαλον τῷ ἀββᾷ Ματώῃ· 7
said — abba James that I-visited — to-abba Matoes
καὶ ἀνακάμψαντός μου, εἶπον αὐτῷ ὅτι, Θέλω παραβαλεῖν
and having-returned me I-said to-him that I-wish to-visit
εἰς τὰ Κελλία. Καὶ εἶπέ μοι· Ἄσπασαι ἐξ ἐμοῦ τὸν ἀββᾶν
to the Cells and he-said to-me greet for me — abba
Ἰωάννην. Ἐλθὼν δὲ ἐγὼ πρὸς τὸν ἀββᾶν Ἰωάννην, λέγω
John having-come and I to — abba John I-say
αὐτῷ· Ἀσπάζεταί σε ὁ ἀββᾶς Ματώης. Καὶ λέγει μοι ὁ
to-him greets you — abba Matoes and says to-me the
γέρων· Ἰδοὺ ὁ ἀββᾶς Ματώης, ἀληθῶς Ἰσραηλίτης, ἐν
old-man behold — abba Matoes truly (an)-Israelite in
ᾧ δόλος οὐκ ἔστι. Καὶ πληρωθέντος ἐνιαυτοῦ, πάλιν
whom guile not is and having-been-completed (a)-year again
παρέβαλον τῷ ἀββᾷ Ματόῃ· καὶ εἶπον αὐτῷ τὸν ἀσπασμὸν
I-visited — to-abba Matoes and told him the greeting
τοῦ ἀββᾶ Ἰωάννου. Καὶ λέγει ὁ γέρων· Οὐκ εἰμὶ μὲν
— of-abba John and says the old-man not I-am indeed
ἄξιος τοῦ λόγου τοῦ γέροντος· πλὴν τοῦτο γίνωσκε,
worthy of-the word of-the old-man yet this know
ὅτι ὅταν ἀκούσῃς γέροντος τὸν πλησίον δοξάζοντος ὑπὲρ
that when you-hear (an)-old-man the neighbor glorifying above

ἑαυτὸν, εἰς μέτρα μεγάλα ἔφθασεν. Αὕτη γάρ ἐστιν ἡ
himself to measures great he-has-reached this for is the
τελειότης, ὥστε τὸν πλησίον ἑαυτοῦ δοξάζειν ὑπὲρ ἑαυτόν.
perfection so-that the neighbor his to-glorify above himself

8 Ἔλεγεν ὁ ἀββᾶς Ματώης ὅτι, Ἦλθεν ἀδελφὸς πρὸς μὲ,
said — abba Matoes that came (a)-brother to me
καὶ εἶπέ μοι, ὅτι ἡ καταλαλιὰ χεῖρόν ἐστι τῆς πορνείας.
and said to-me that the slander worse is than-the fornication
Καὶ εἶπον· Σκληρός ἐστιν ὁ λόγος. Λέγει οὖν μοι· Καὶ
and I-said hard is the word he-says then to-me and
πῶς θέλεις εἶναι τὸ πρᾶγμα τοῦτο; Ἐγὼ δὲ ἔφην· Ἡ
how do-you-wish to-be the matter this I and said the
μὲν καταλαλιὰ κακή ἐστιν· ταχεῖαν δὲ ἔχει θεραπείαν·
indeed slander bad is quick but it-has (a)-cure
μετανοεῖ γὰρ πολλάκις ὁ καταλαλήσας, λέγων· Κακῶς
repents for often the(-one) having-slandered saying badly
ἐλάλησα. Ἡ δὲ πορνεία, φυσικὸς θάνατός ἐστιν.
I-spoke the but fornication natural death is

9 Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ματώης ἀπὸ τῆς Ῥαιθοῦ, εἰς τὰ
went-away once — abba Matoes from — Raithou to the
μέρη Μαγδολῶν· ἦν δὲ ὁ ἀδελφὸς αὐτοῦ μετ᾽ αὐτοῦ.
parts of-Magdolos was and the brother his with him
Καὶ κρατήσας ὁ ἐπίσκοπος τὸν γέροντα, ἐποίησεν αὐτὸν
and having-seized the bishop the old-man made him
πρεσβύτερον. Καὶ γενομένων αὐτῶν ὁμοῦ, ἔλεγεν ὁ
(a)-priest and having-been they together said the
ἐπίσκοπος· Συγχώρησόν μοι, ἀββᾶ· οἶδα ὅτι οὐκ ἤθελες
bishop forgive me abba I-know that not you-wanted
τὸ πρᾶγμα τοῦτο· ἀλλὰ διὰ τὸ εὐλογηθῆναί με παρὰ σοῦ,
the matter this but for the to-be-blessed me by you
ἐτόλμησα τοῦτο ποιῆσαι. Εἶπε δὲ αὐτῷ ὁ γέρων μετὰ
I-dared this to-do said and to-him the old-man with

ταπεινώσεως· Καὶ ὁ λογισμός μου μικρὸν ἤθελεν· πλὴν εἰς
humility even the thought my (a)-little wished-it but over
τοῦτο ἐγὼ κοπιῶ, ὅτι χωρισθῆναι ἔχω ἀπὸ τοῦ ἀδελφοῦ
this I toil that to-be-separated I-am from the brother
τοῦ μετ᾽ ἐμοῦ. Οὐ βαστάζω γὰρ ὅλας τὰς εὐχὰς ποιῆσαι
the with me not I-bear for all the prayers to-make
μόνος. Καὶ λέγει ὁ ἐπίσκοπος· Εἰ οἶδας ὅτι ἄξιός ἐστιν,
alone and says the bishop if you-know that worthy he-is
ἐγὼ αὐτὸν χειροτονῶ. Λέγει αὐτῷ ὁ ἀββᾶς Ματώης· Εἰ
I him ordain says to-him — abba Matoes if
μὲν ἄξιός ἐστιν, οὐκ οἶδα· ἓν δὲ οἶδα, ὅτι ἐμοῦ καλλίων
indeed worthy he-is not I-know one but I-know that than-me better
ἐστίν. Ἐχειροτόνησε δὲ καὶ αὐτόν. Καὶ ἐκοιμήθησαν οἱ
he-is he-ordained and also him and fell-asleep the
ἀμφότεροι, μὴ ἐγγίσαντες θυσιαστηρίῳ ἕνεκεν τοῦ
both not having-approached to-(the)-altar for-the-sake-of the
ποιῆσαι προσφοράν. Ἔλεγε δὲ ὁ γέρων· Πιστεύω εἰς τὸν
to-make (the)-offering said and the old-man I-believe in —
Θεὸν, ὅτι οὐκ ἔχω κρῖμα πολὺ διὰ τὴν χειροτονίαν, ὁπότε
God that not I-have judgment much because-of the ordination since
οὐ ποιῶ προσφοράν. Τῶν γὰρ ἀμέμπτων ἐστὶν ἡ χειροτονία.
not I-make (the)-offering of-the for blameless is the ordination
Εἶπεν ὁ ἀββᾶς Ματόης ὅτι, Τρεῖς γέροντες ἀπῆλθον πρὸς 10
said — abba Matoes that three old-men went-away to
τὸν ἀββᾶν Παφνούτιον τὸν λεγόμενον Κεφαλᾶν, ἵνα
— abba Paphnutius the called Cephalas so-that
ἐρωτήσωσιν αὐτὸν λόγον. Καὶ εἶπεν αὐτοῖς ὁ γέρων· Τί
they-might-ask him (a)-word and said to-them the old-man what
θέλετε εἴπω ὑμῖν; Πνευματικὸν ἢ σωματικόν; Λέγουσιν
do-you-wish I-tell you spiritual or bodily they-say
αὐτῷ· Πνευματικόν. Λέγει αὐτοῖς ὁ γέρων· Ὑπάγετε,
to-him spiritual says to-them the old-man go

ἀγαπήσατε τὴν θλῖψιν ὑπὲρ τὴν ἀνάπαυσιν, καὶ τὴν ἀτιμίαν
love the affliction above the rest and the dishonor
πλέον τῆς δόξης, καὶ τὸ διδόναι μᾶλλον ἢ λαμβάνειν.
more than-the glory and the to-give rather than to-receive

11 Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ματώην, λέγων· Εἰπέ μοι
asked (a)-brother — abba Matoes saying tell me
ῥῆμα. Ὁ δὲ εἶπεν αὐτῷ· Ὕπαγε, παρακάλεσον τὸν Θεὸν,
(a)-word he and said to-him go beseech — God
ἵνα δώσει πένθος εἰς τὴν καρδίαν σου, καὶ ταπείνωσιν·
that he-give mourning into the heart your and humility
καὶ πρόσεχε πάντοτε τὰς ἁμαρτίας σου· καὶ μὴ κρῖνε
and attend always to-the sins your and not judge
ἄλλους, ἀλλὰ γενοῦ ὑποκάτω πάντων· καὶ μὴ ἔχε φιλίαν
others but become beneath all and not have friendship
μετὰ παιδίου, μήτε γνῶσιν μετὰ γυναικὸς, μήτε φίλον
with (a)-boy nor acquaintance with (a)-woman nor (a)-friend
αἱρετικόν· καὶ κόψον τὴν παῤῥησίαν ἀπὸ σοῦ· καὶ κράτει
heretic and cut-off the freedom from you and master
τὴν γλῶσσαν καὶ τὴν κοιλίαν σου, καὶ ἀπὸ οἴνου μικρόν·
the tongue and the belly your and from wine (a)-little
καὶ ἐάν τις λαλήσῃ περὶ πράγματος οἱουδήποτε, μὴ
and if anyone speak about (a)-matter whatsoever not
φιλονείκει μετ᾽ αὐτοῦ· ἀλλ᾽ ἐὰν καλῶς λέγῃ, εἰπέ· Ναί· ἐὰν
contend with him but if well he-speaks say yes if
δὲ κακῶς, εἰπέ· Σὺ οἶδας πῶς λαλεῖς· καὶ μὴ ἔριζε μετ᾽
but badly say you know how you-speak and not quarrel with
αὐτοῦ περὶ ὧν ἐλάλησε. Καὶ αὕτη ἐστὶν ἡ ταπείνωσις.
him about what he-spoke and this is the humility

12 Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ματώην· Εἰπέ μοι
asked (a)-brother — abba Matoes tell me
ῥῆμα. Καὶ εἶπεν αὐτῷ· Πᾶσαν φιλονεικίαν ἀπὸ παντὸς
(a)-word and he-said to-him all contentiousness from every

πράγματος κόψον ἀπὸ σοῦ· κλαῦσον δὲ καὶ πένθησον,
matter cut-off from you weep and also mourn
ὅτι ὁ καιρὸς ἤγγισεν.
for the time has-drawn-near
Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ματόην, λέγων· Τί ποιήσω; 13
(a)-brother asked — abba Matoes saying what shall-I-do
ὅτι ἡ γλῶσσά μου θλίβει με· καὶ ὅταν ἔρχωμαι ἐν
for the tongue my afflicts me and when I-come in
μέσῳ τῶν ἀνθρώπων, οὐ δύναμαι κατασχεῖν αὐτήν·
(the)-midst of-the men not I-can restrain it
ἀλλὰ κατακρίνω αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ
but I-condemn them in every work good and
ἐλέγχω αὐτούς. Τί οὖν ποιήσω; Καὶ ἀποκριθεὶς ὁ γέρων
I-reproach them what then shall-I-do and answering the old-man
εἶπεν· Εἰ οὐ δύνασαι κατέχειν ἑαυτὸν, φύγε καταμόνας.
said if not you-can restrain yourself flee alone
Ἀσθένεια γάρ ἐστιν. Ὁ δὲ καθήμενος μετὰ ἀδελφῶν,
(a)-weakness for it-is the(-one) but sitting with brothers
οὐκ ὀφείλει εἶναι τετραγωνιαῖος, ἀλλὰ στρογγύλος, ἵνα
not ought to-be square but round so-that
πρὸς πάντας κυλίηται. Καὶ εἶπεν ὁ γέρων· Οὐ κατὰ
toward all be-may-roll and said the old-man not by
ἀρετὴν κάθημαι καταμόνας, ἀλλὰ κατὰ ἀσθένειαν· δυνατοὶ
virtue I-sit alone but by weakness strong
γάρ εἰσιν, οἱ ἐρχόμενοι εἰς τὸ μέσον τῶν ἀνθρώπων.
for are the(-ones) coming into the midst of-the men

Silvanus loves his disciple Mark above eleven others, since Mark leaves an omega unfinished at his call and agrees when Silvanus calls a boar a buffalo. Mark comes out to his mother with his eyes shut and blesses her unrecognized; begging Silvanus, bound for Syria, to stay three days, he dies on the third.

1 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι εἶχε μαθητὴν ἐν
they-said about — abba Silvanus that he-had (a)-disciple in
Σκήτει, Μάρκον ὀνόματι· ἦν δὲ ἔχων ὑπακοὴν μεγάλην,
Scetis Mark by-name he-was and having obedience great
καὶ ἦν καλλιγράφος. Ἠγάπα δὲ αὐτὸν ὁ γέρων διὰ
and he-was (a)-fine-scribe loved and him the old-man because-of
τὴν ὑπακοὴν αὐτοῦ. Εἶχε δὲ ἄλλους ἕνδεκα μαθητὰς, καὶ
the obedience his he-had and other eleven disciples and
ἐθλίβοντο, ὅτι ἠγάπα αὐτὸν ὑπὲρ αὐτούς. Καὶ ἀκούσαντες
they-were-distressed that he-loved him above them and having-heard
οἱ γέροντες, ἐλυπήθησαν. Ἦλθον δὲ ἐν μιᾷ πρὸς αὐτὸν οἱ
the old-men were-grieved came and on one(-day) to him the
γέροντες, καὶ ἐνεκάλουν αὐτόν. Λαβὼν δὲ αὐτοὺς ἐξῆλθε,
old-men and accused him having-taken and them he-went-out
καὶ ἔκρουσε κατὰ κελλίον, λέγων· Ὁ δεῖνα ἀδελφὲ, δεῦρο,
and knocked at-each cell saying the so-and-so brother come
ὅτι χρήζω σου. Καὶ εἷς ἐξ αὐτῶν, οὐκ ἠκολούθησεν αὐτῷ
for I-need you and one of them not followed him
εὐθύς. Καὶ ἐλθὼν ἐπὶ τὴν κέλλαν Μάρκου, ἔκρουσε, λέγων·
at-once and having-come to the cell of-Mark he-knocked saying
Μάρκε. Ὁ δὲ ἀκούσας τῆς φωνῆς τοῦ γέροντος, εὐθὺς
Mark he and having-heard the voice of-the old-man at-once
ἐπήδησεν ἔξω· καὶ ἔπεμψεν αὐτὸν εἰς διακονίαν. Καὶ λέγει
leaped outside and he-sent him on (an)-errand and he-says

τοῖς γέρουσι· Ποῦ εἰσὶν οἱ λοιποὶ ἀδελφοὶ, Πατέρες; Καὶ
to-the old-men where are the other brothers Fathers and
εἰσελθὼν εἰς τὴν κέλλαν αὐτοῦ, ἐψηλάφησε τὸ τετράδιον
having-gone-in into the cell his he-felt the quire
αὐτοῦ· καὶ εὗρεν ὅτι ω ἔβαλε χεῖρα ποιεῖν· καὶ
his and found that (an)-omega he-had-put (his)-hand to-make and
ἀκούσας τοῦ γέροντος, οὐκ ἔστρεψε τὸν κάλαμον πληρῶσαι
having-heard the old-man not he-turned the pen to-complete
αὐτό. Λέγουσιν οὖν οἱ γέροντες· Ὄντως ὃν σὺ ἀγαπᾷς,
it say then the old-men truly whom you love
ἀββᾶ, καὶ ἡμεῖς αὐτὸν ἀγαπῶμεν, καὶ ὁ Θεὸς αὐτὸν ἀγαπᾷ.
abba also we him love and — God him loves
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι ποτὲ περιπατῶν 2
they-said about — abba Silvanus that once walking
ἐν τῇ Σκήτει μετὰ τῶν γερόντων, καὶ θέλων αὐτοῖς
in — Scetis with the old-men and wishing to-them
τὴν ὑπακοὴν τοῦ μαθητοῦ αὐτοῦ Μάρκου δεῖξαι, καὶ
the obedience of-the disciple his Mark to-show and
δι' ὃ ἀγαπᾷ αὐτὸν, θεωρήσας μικρὸν σύαγρον, λέγει
because-of which he-loves him having-seen (a)-little boar he-says
αὐτῷ· Θεωρεῖς τὸ μικρὸν βουβάλιον ἐκεῖνο, τέκνον; Λέγει
to-him do-you-see the little buffalo that child he-says
αὐτῷ· Ναὶ, ἀββᾶ. Καὶ τὰ κέρατα αὐτοῦ πῶς πιθανά
to-him yes abba and the horns its how fine
εἰσιν; Λέγει· Ναὶ, ἀββᾶ. Καὶ ἐθαύμασαν οἱ γέροντες τὴν
are-they he-says yes abba and marveled the old-men at-the
ἀπόκρισιν αὐτοῦ, καὶ ᾠκοδομήθησαν ἐν τῇ ὑπακοῇ αὐτοῦ.
answer his and were-edified in the obedience his
Κατῆλθέ ποτε ἡ μήτηρ τοῦ ἀββᾶ Μάρκου ἰδεῖν αὐτόν· καὶ 3
came-down once the mother — of-abba Mark to-see him and
εἶχε πολλὴν φαντασίαν. Καὶ ἐξῆλθεν ὁ γέρων πρὸς αὐτήν.
she-had much pomp and went-out the old-man to her

Καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, εἰπὲ τὸν υἱόν μου ἐξελθεῖν, ἵνα
and she-said to-him abba tell the son my to-come-out so-that
ἴδω αὐτόν. Εἰσελθὼν δὲ ὁ γέρων, εἶπεν αὐτῷ· Ἔξελθε,
I-may-see him having-gone-in and the old-man said to-him come-out
ἵνα σε ἴδῃ ἡ μήτηρ σου. Ἦν δὲ φορῶν κεντονάριον,
so-that you may-see the mother your he-was and wearing (a)-patchwork
καὶ ἠσβολωμένος ἀπὸ τοῦ μαγειρείου. Καὶ ἐξελθὼν
and blackened from the kitchen and having-come-out
διὰ τὴν ὑπακοὴν, ἐκάμμυσε τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ
because-of the obedience he-shut the eyes his and
εἶπεν αὐτοῖς· Σωθείητε, σωθείητε, σωθείητε· καὶ οὐκ
said to-them may-you-be-saved may-you-be-saved may-you-be-saved and not
εἶδεν αὐτούς. Ἡ δὲ μήτηρ αὐτοῦ οὐκ ἐγνώρισεν αὐτόν.
he-saw them the and mother his not recognized him
Πάλιν οὖν πέμπει πρὸς τὸν γέροντα, λέγουσα· Ἀββᾶ,
again then she-sends to the old-man saying abba
πέμψον μοι τὸν υἱόν μου, ἵνα αὐτὸν ἴδω. Καὶ εἶπε τῷ
send me the son my so-that him I-may-see and he-said —
Μάρκῳ· Οὐκ εἶπόν σοι· Ἔξελθε, ἵνα σε ἴδῃ ἡ μήτηρ
to-Mark did-not I-tell you come-out so-that you may-see the mother
σου; Καὶ εἶπεν αὐτῷ ὁ Μάρκος· Ἐξῆλθον κατὰ τὸν
your and said to-him — Mark I-came-out according-to the
λόγον σου, ἀββᾶ. Πλὴν παρακαλῶ σε, μὴ εἴπῃς μοι ἄλλο
word your abba but I-beseech you not tell me another
ἄπαξ ἐξελθεῖν, ἵνα μὴ παρακούσω σου. Καὶ ἐξελθὼν
time to-come-out so-that not I-disobey you and having-gone-out
ὁ γέρων εἶπεν αὐτῇ· Αὐτός ἐστιν ὁ ἀπαντήσας ὑμῖν,
the old-man said to-her he is the(-one) having-met you
λέγων· Σωθείητε. Καὶ παρακαλέσας αὐτὴν ἀπέλυσεν.
saying may-you-be-saved and having-comforted her he-sent-(her)-away

Περὶ τοῦ ἀββᾶ Μάρκου μαθητοῦ τοῦ ἀββᾶ Σιλουανοῦ

Ἄλλοτε συνέβη αὐτὸν ἐξελθεῖν ἀπὸ Σκήτεως, καὶ ἀπελθεῖν 4
another-time it-happened him to-go-out from Scetis and to-go-away
εἰς τὸ ὄρος τὸ Σινὰ, καὶ μεῖναι ἐκεῖ. Καὶ ἔπεμψεν
to the mountain — Sinai and to-stay there and sent
ἡ μήτηρ τοῦ Μάρκου ὁρκίζουσα αὐτὸν μετὰ δακρύων,
the mother — of-Mark adjuring him with tears
ἵνα ἐξέλθῃ ὁ υἱὸς αὐτῆς, καὶ ἴδῃ αὐτόν. Ὁ δὲ
that may-come-out the son her and she-may-see him the and
γέρων ἀπέλυσεν αὐτόν. Καὶ ὡς ἐποίει τὴν μηλωτὴν
old-man sent-off him and when he-was-making the sheepskin
αὐτοῦ τοῦ ἐξελθεῖν, καὶ ἤρχετο ἀσπάσασθαι τὸν γέροντα,
his for-the to-go-out and came to-greet the old-man
εὐθέως ἔβαλλε κλαίειν, καὶ οὐκ ἐξήρχετο.
at-once he-began to-weep and not he-went-out

Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι ὡς ἤθελεν ἐξελθεῖν 5
they-said about — abba Silvanus that when he-wished to-go-out
εἰς Συρίαν, εἶπεν αὐτῷ ὁ μαθητὴς αὐτοῦ Μάρκος· Πάτερ,
to Syria said to-him the disciple his Mark Father
οὐ θέλω ἐξελθεῖν ἔνθεν· ἀλλ᾽ οὐδὲ σὲ ἀφῶ ἐξελθεῖν,
not I-wish to-go-out from-here but not-even you I-will-let to-go-out
ἀββᾶ. Ἀλλὰ παράμεινον ὧδε τρεῖς ἡμέρας. Καὶ τῇ
abba but remain here three days and on-the
τρίτῃ ἡμέρᾳ ἐκοιμήθη.
third day he-fell-asleep

Milesius raises a murdered man to clear a monk falsely accused, and lets him sleep again until the Lord comes. In Persia two royal brothers who torture him for refusing to sacrifice shoot each other the next day, as he foretold.

1 Παρερχόμενος ὁ ἀββᾶς Μιλήσιος διά τινος τόπου,
passing-by — abba Milesius through a-certain place
εἶδέ τινα μοναχὸν κρατούμενον ὑπό τινος, ὡς φόνον
he-saw a-certain monk being-held by someone as (a)-murder
ποιήσαντα. Καὶ προσεγγίσας ὁ γέρων, ἐπερώτησε τὸν
having-done and having-approached the old-man questioned the
ἀδελφόν. Καὶ μαθὼν ὅτι συκοφαντεῖται, λέγει πρὸς
brother and having-learned that he-is-falsely-accused he-says to
τοὺς κατέχοντας αὐτόν· Ποῦ ἔστιν ὁ φονευθείς;
the(-ones) holding him where is the(-one) murdered
Καὶ ἔδειξαν αὐτῷ. Καὶ προσεγγίσας τῷ φονευθέντι,
and they-showed him and having-approached the(-one) murdered
εἶπε πᾶσι προσεύξασθαι. Αὐτοῦ δὲ ἐκπετάσαντος τὰς
he-told all to-pray he and having-spread-out the
χεῖρας πρὸς τὸν Θεὸν, ἀνέστη ὁ νεκρός. Καὶ εἶπεν αὐτῷ
hands to — God rose the dead(-man) and he-said to-him
ἐπὶ πάντων· Εἰπὲ ἡμῖν τίς ἐστιν ὁ φονεύσας σε.
before all tell us who is the(-one) having-murdered you
Ὁ δὲ εἶπεν, ὅτι Εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, δέδωκα
he and said that having-gone-in into the church I-have-given
χρήματα τῷ πρεσβυτέρῳ· ὁ δὲ ἀναστὰς, ἔσφαξέ με·
money to-the priest he and having-risen slew me
καὶ ἀπενέγκας, ἔῤῥιψεν εἰς τὸ μοναστήριον τοῦ ἀββᾶ.
and having-carried(-me)-off threw(-me) into the monastery of-the abba
Ἀλλὰ παρακαλῶ ὑμᾶς, ληφθῆναι τὰ χρήματα, καὶ δοθῆναι
but I-beseech you to-be-taken the money and to-be-given

τοῖς τέκνοις μου. Τότε εἶπε πρὸς αὐτὸν ὁ γέρων· Ἄπελθε,
to-the children my then said to him the old-man go-away
καὶ κοιμῶ, ἕως ἂν ἔλθῃ ὁ Κύριος, καὶ ἐγείρῃ σε.
and sleep until — come the Lord and raise you
Ἄλλοτε οἰκοῦντος αὐτοῦ μετὰ δύο μαθητῶν ἐν τοῖς ὁρίοις 2
another-time dwelling he with two disciples in the borders
Περσίδος, ἐξῆλθον δύο υἱοὶ τοῦ βασιλέως σαρκικοὶ ἀδελφοὶ,
of-Persia went-out two sons of-the king fleshly brothers
ἀγρεῦσαι κατὰ τὸ ἔθος. Ἔβαλον δὲ λίνα ἐπὶ πολὺ
to-hunt according-to the custom they-set and nets over great
διάστημα κἂν ἐπὶ τεσσαράκοντα μίλια· ὥστε εἰ εὑρίσκεται
distance even for forty miles so-that if (anything)-is-found
ἔσω τῶν λίνων, ἀγρεύσωσι καὶ ἀποκτείνωσι κόντοις.
inside the nets they-might-hunt and kill(-it) with-spears
Εὑρέθη δὲ ὁ γέρων μετὰ τῶν δύο μαθητῶν αὐτοῦ. Καὶ
was-found and the old-man with the two disciples his and
θεασάμενοι αὐτὸν τριχώδη καὶ ὡς ἄγριον, ἐξεπλάγησαν,
having-beheld him hairy and as-if wild they-were-astounded
καὶ εἶπον αὐτῷ· Ἄνθρωπος εἶ ἢ πνεῦμα, εἰπὲ ἡμῖν.
and said to-him (a)-man you-are or (a)-spirit tell us
Καὶ εἶπεν αὐτοῖς· Ἄνθρωπός εἰμι ἁμαρτωλός· καὶ ἐξῆλθον
and he-said to-them (a)-man I-am sinful and I-came-out
κλαῦσαι τὰς ἁμαρτίας μου· καὶ προσκυνῶ Ἰησοῦν τὸν
to-weep-for the sins my and I-worship Jesus —
Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος. Οἱ δὲ εἶπον αὐτῷ·
Christ the Son — of-God the living they and said to-him
Οὐκ ἔστιν ἄλλος Θεὸς, πλὴν τοῦ ἡλίου καὶ τοῦ πυρὸς καὶ
not there-is other God except the sun and the fire and
τοῦ ὕδατος· ἃ ἐσέβοντο. Ἀλλὰ πρόσελθε, καὶ ἐπίθυσον
the water which they-worshiped but come-forward and sacrifice
αὐτοῖς. Ὁ δὲ εἶπεν αὐτοῖς· Ταῦτα κτίσματά εἰσι, καὶ
to-them he and said to-them these creatures are and

πλανᾶσθε· ἀλλὰ παρακαλῶ ὑμᾶς ἐπιστρέψαι καὶ γνῶναι
you-are-deceived but I-beseech you to-turn and to-know
τὸν ἀληθινὸν Θεὸν τὸν κτίσαντα ταῦτα πάντα. Αὐτοὶ δὲ
the true God the having-created these(-things) all they and
εἶπον· Τὸν κατακριθέντα καὶ σταυρωθέντα λέγεις Θεὸν
said the(-one) condemned and crucified do-you-say God
εἶναι ἀληθινόν; Καὶ λέγει ὁ γέρων· Τὸν σταυρώσαντα
to-be true and says the old-man the(-one) having-crucified
τὴν ἁμαρτίαν, καὶ ἀποκτείναντα τὸν θάνατον, αὐτὸν λέγω
the sin and having-killed the death him I-say
εἶναι Θεὸν ἀληθινόν. Αὐτοὶ δὲ βασανίζοντες αὐτὸν μετὰ καὶ
to-be God true they and torturing him with also
τῶν ἀδελφῶν, ἠνάγκαζον θύειν. Καὶ πολλὰ βασανίσαντες,
the brothers compelled(-them) to-sacrifice and much having-tortured(-them)
ἀπεκεφάλισαν τοὺς δύο ἀδελφούς· τὸν δὲ γέροντα ἐπὶ
they-beheaded the two brothers the but old-man for
πολλὰς ἡμέρας ἐβασάνιζον· ὕστερον δὲ, τῇ τέχνῃ αὐτῶν
many days they-tortured later and by-the art their
ἔστησαν αὐτὸν εἰς τὸ μέσον, καὶ ἔῤῥιψαν βέλη, ὁ εἷς
they-stood him in the middle and threw arrows the one
ἔμπροσθεν, καὶ ὁ εἷς ὄπισθεν αὐτοῦ. Αὐτὸς δὲ εἶπεν αὐτοῖς·
in-front and the one behind him he and said to-them
Ἐπειδὴ γεγόνατε ἐν ὁμονοίᾳ, καὶ ἐκχέετε αἷμα ἀθῶον, ἐν
since you-have-become in concord and you-pour-out blood innocent in
μιᾷ ῥοπῇ αὔριον ταύτῃ τῇ ὥρᾳ, ἀτεκνωθείη ἡ μήτηρ
one moment tomorrow at-this the hour may-be-made-childless the mother
ὑμῶν ἀφ' ὑμῶν, καὶ στερηθείη τῆς ἀγάπης ὑμῶν,
your of you and may-she-be-deprived of-the love your
καὶ τοῖς ἰδίοις βέλεσιν ἀλλήλων τὰ αἵματα ἐκχέῃτε.
and with-the own arrows of-each-other the blood may-you-pour-out
Καταφρονήσαντες δὲ τοῦ ῥήματος αὐτοῦ, ἦλθον ἐπὶ τὴν
having-despised and the word his they-came on the

αὔριον θηρεῦσαι. Καὶ ἐξήλισεν ἀπ᾽ αὐτῶν μία ἔλαφος. Καὶ
morrow to-hunt and sprang-out from them one deer and
καθίσαντες τοῖς ἵπποις, κατέδραμον ἐπὶ τὸ καταλαβεῖν
having-mounted on-the horses they-ran-down for the to-overtake
αὐτήν· καὶ ῥίψαντες βέλη κατ᾽ αὐτῆς, ἐκόλλησαν ἀλλήλοις
it and having-thrown arrows at it they-fixed(-them) in-each-other
κατὰ τῆς καρδίας ἑαυτῶν· κατὰ τὸ ῥῆμα τοῦ γέροντος
in the heart of-themselves according-to the word of-the old-man
ὃ εἶπεν αὐτοῖς, καταρώμενος αὐτοῖς. Καὶ ἀπέθανον.
which he-said to-them cursing them and they-died

LXXV · MOTIUS

Motius tells a brother to make no name for himself in a new place but to do what the devout around him do. Driven from his monastery by a hostile brother, he breaks down his own door with an axe to embrace him when he comes, and afterward is made a bishop, as is his disciple Isaac.

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μώτιον, λέγων· Ἐὰν ἀπέλθω 1
(a)-brother asked — abba Motius saying if I-go-away
μεῖναι εἰς τόπον, πῶς θέλεις διάξω ἐκεῖ; Λέγει αὐτῷ
to-stay in (a)-place how do-you-wish I-live there says to-him
ὁ γέρων· Ἐὰν οἰκήσῃς εἰς τόπον, μὴ θελήσῃς ἐκβαλεῖν
the old-man if you-dwell in (a)-place not wish to-put-forth
σεαυτῷ ὄνομα ἔν τινι, ὅτι οὐκ ἐξέρχομαι εἰς σύναξιν,
for-yourself (a)-name in anything that not I-go-out to (the)-synaxis
ἢ εἰς ἀγάπην οὐκ ἐσθίω. Ταῦτα γὰρ ὄνομα ποιοῦσι
or at (an)-agape not I-eat these(-things) for (a)-name make
κενὸν, καὶ ὕστερον εὑρίσκεις ὄχλησιν. Οἱ γὰρ ἄνθρωποι,
empty and later you-find trouble the for men
ὅπου εὑρίσκουσι ταῦτα, ἐκεῖ τρέχουσι. Λέγει οὖν αὐτῷ
where they-find these(-things) there they-run says then to-him

ὁ ἀδελφός· Τί οὖν ποιήσω; Λέγει ὁ γέρων· Ὅπου
the brother what then shall-I-do says the old-man where
ἐὰν καθίσῃς, ἴσως μετὰ πάντων ἀκολούθει· καὶ εἴ τι
— you-sit equally with all follow and if anything
βλέπεις τοὺς εὐλαβεῖς ποιοῦντας εἰς οὓς πληροφορῇ,
you-see the devout doing in whom you-are-assured
ποίησον, καὶ ἀναπαύῃ. Τοῦτο γὰρ ταπείνωσίς ἐστι, τὸ
do-it and you-are-at-rest this for humility is the
εἶναί σε ἐπίσης αὐτῶν. Καὶ οἱ ἄνθρωποι θεωροῦντές σε
to-be you equal-to them and the men beholding you
ἐκβαίνοντα, ἔχουσί σε ἐπίσης πάντων· καὶ οὐδείς σοι ὀχλεῖ.
going-out hold you equal-to all and no-one you troubles

2 Διηγήσατο περὶ τοῦ ἀββᾶ Μωτίου ὁ μαθητὴς αὐτοῦ ἀββᾶς
related about — abba Motius the disciple his abba
Ἰσαάκ· ἀμφότεροι δὲ ἐγένοντο ἐπίσκοποι· ὅτι πρῶτος
Isaac both and became bishops that first
ᾠκοδόμησε μοναστήριον ὁ γέρων εἰς τὸν Ἡρακλᾶν· καὶ
built (a)-monastery the old-man at — Heracleopolis and
ὡς ἀνεχώρησεν ἐκεῖθεν, ἀπῆλθεν εἰς ἕτερον τόπον, καὶ
when he-withdrew from-there he-went-away to another place and
ᾠκοδόμησεν ἐκεῖ πάλιν. Καὶ κατ' ἐνέργειαν τοῦ διαβόλου,
built there again and by (the)-working of-the devil
εὑρέθη ἀδελφός τις ἐχθραίνων αὐτῷ, καὶ θλίβων αὐτόν.
was-found brother a-certain being-hostile to-him and afflicting him
Καὶ ἀναστὰς ὁ γέρων ἀνεχώρησεν εἰς τὴν ἰδίαν κώμην·
and having-risen the old-man withdrew to the own village
καὶ ἐποίησεν ἑαυτῷ μοναστήριον, καὶ ἐνέκλεισεν ἑαυτόν.
and made for-himself (a)-monastery and shut-in himself
Καὶ μετὰ χρόνον ἦλθον οἱ γέροντες τοῦ τόπου ὅθεν
and after (a)-time came the old-men of-the place whence
ἐξῆλθε, καὶ λαβόντες καὶ τὸν ἀδελφὸν ὅπου εἶχε
he-had-gone-out and having-taken also the brother who had

πρὸς αὐτὸν τὴν λύπην, ἀπῆλθον παρακαλέσαι αὐτὸν, ἵνα
against him the grief went-away to-beseech him that
ἐνέγκωσιν αὐτὸν εἰς τὴν μονὴν αὐτοῦ. Ὡς δὲ ἤγγισαν
they-might-bring him to the monastery his when and they-drew-near
ὅπου ἦν ὁ ἀββᾶς Σώρης, ἀφῆκαν τὰ μηλωτάρια αὐτῶν
where was — abba Sores they-left the little-sheepskins their
ἐγγὺς αὐτοῦ, καὶ τὸν ἀδελφὸν τὸν ἔχοντα τὴν λύπην.
near him and the brother the having the grief
Καὶ ὡς ἔκρουσαν, βάλλει ὁ γέρων τὸ κλιμάκιον, καὶ
and when they-knocked puts-out the old-man the little-ladder and
παρακύπτει, καὶ γνωρίζει αὐτοὺς, καὶ λέγει· Ποῦ τὰ
peeps-out and recognizes them and says where (are)-the
μηλωτάρια ὑμῶν; Οἱ δὲ εἶπον· Ἰδοὺ ὧδε μετὰ τοῦδε
little-sheepskins your they and said behold here with this
τοῦ ἀδελφοῦ. Ὡς δὲ ἤκουσε τὸ ὄνομα τοῦ ἀδελφοῦ τοῦ
the brother when and he-heard the name of-the brother the
λυπήσαντος αὐτὸν, ὁ γέρων ἀπὸ χαρᾶς ἔβαλε πέλεκυν,
having-grieved him the old-man from joy put (an)-axe
καὶ κατέστρεψε τὴν θύραν, καὶ ἐξῆλθε τρέχων ὅπου ἦν
and broke-down the door and went-out running where was
ὁ ἀδελφός· καὶ ἔβαλεν αὐτῷ μετάνοιαν πρῶτος, καὶ
the brother and made to-him penitence first and
ἠσπάσατο αὐτόν· καὶ εἰσήνεγκεν αὐτὸν εἰς τὸ κελλίον
embraced him and brought him into the cell
αὐτοῦ· καὶ ἐπὶ τρεῖς ἡμέρας εὔφρανεν αὐτούς· καὶ αὐτὸς
his and for three days he-feasted them and he
μετ᾽ αὐτῶν· ὅπερ οὐκ εἶχε συνήθειαν ποιεῖν· καὶ ἀναστὰς
with them which not he-had (the)-custom to-do and having-risen
ἐπορεύθη μετ᾽ αὐτῶν. Καὶ μετὰ ταῦτα ἐπίσκοπος γέγονεν.
he-went with them and after these(-things) bishop he-became

Ἦν γὰρ σημειοφόρος. Καὶ τὸν μαθητὴν αὐτοῦ ἐποίησεν
he-was for (a)-sign-bearer and the disciple his made
ἐπίσκοπον ὁ μακάριος Κύριλλος τὸν ἀββᾶν Ἰσαάκ.
bishop the blessed Cyril — abba Isaac

LXXVI · MEGETHIUS

Megethius owns nothing but the needle he splits palm leaves with and never goes back for anything; the second Megethius learns from a saint to eat half a loaf daily. A saying under the name recalls that the Fathers' talk once rose to heaven and now drags them down to slander.

1 Ἔλεγον περὶ τοῦ ἀββᾶ Μεγεθίου, ὅτι ἐξήρχετο τοῦ
they-said about — abba Megethius that he-went-out-of the
κελλίου· καὶ εἰ ἤρχετο αὐτῷ λογισμὸς ἀναχωρῆσαι ἐκ
cell and if came to-him (a)-thought to-withdraw from
τοῦ τόπου, οὐκ ἀνέκαμπτεν εἰς τὴν κέλλαν αὐτοῦ. Οὐδὲ
the place not he-returned to the cell his not-even
γὰρ εἶχέ τί ποτε τοῦ αἰῶνος τούτου ὕλην, εἰ μὴ
for he-had anything ever of-the age this matter if not
ῥαφίδα μίαν ὅπου τὰ θαλλία ἔσχιζεν· εἰργάζετο γὰρ
(a)-needle one with-which the palm-shoots he-split he-worked for
καθ' ἡμέραν τρία μαλάκια, τὸ τῆς τροφῆς αὐτοῦ.
each day three baskets the(-cost) of-the food his

2 Ἔλεγον περὶ τοῦ δευτέρου ἀββᾶ Μεγεθίου, ὅτι ἦν ταπεινὸς
they-said about the second abba Megethius that he-was humble
σφόδρα, μαθητευθεὶς παρ' Αἰγυπτίοις, καὶ συντυχὼν πολλοῖς
greatly having-been-taught among Egyptians and having-met many
γέρουσι, καὶ τῷ ἀββᾷ Σισόῃ, καὶ τῷ ἀββᾷ Ποιμένι.
old-men and — to-abba Sisoes and — to-abba Poemen
Ἔμεινε δὲ καὶ εἰς ποταμὸν εἰς τὸ Σινά. Καὶ συνέβη τινὰ
he-stayed and also at (a)-river in — Sinai and it-happened one

τῶν ἁγίων παραβαλεῖν αὐτῷ (ὡς αὐτὸς διηγήσατο), καὶ
of-the saints to-visit him as he related and
λέγει αὐτῷ· Πῶς διάγεις, ἀδελφὲ, ἐν τῇ ἐρήμῳ ταύτῃ; Ὁ
he-says to-him how do-you-live brother in the desert this he
δὲ εἶπε· Νηστεύω δύο δύο, καὶ ἕνα ἄρτον ἐσθίω.
and said I-fast two(-days) two(-days) and one loaf I-eat
Καὶ λέγει μοι· Εἰ θέλεις ἀκοῦσαί μου, φάγε καθ' ἡμέραν
πάνυ. Μετὰ ταῦτα ἤνεγκεν αὐτῷ μικρὸν καλὸν σφόδρα,
very after these(-things) he-brought him (a)-little good very
καὶ εἶπεν· Ἠφάνισα αὐτὸ, γέρον. Καὶ ἀπεκρίθη, λέγων·
and said I-spoiled it old-man and he-answered saying
Ναὶ, ἠφάνισας αὐτὸ μικρόν. Καὶ εἶπέ μοι ὁ ἀββᾶς Ἀθρέ·
yes you-spoiled it (a)-little and said to-me — abba Athre
Εἶδες ὅτι ἡ ὑπακοὴ τοῦ γέροντός ἐστι; Καὶ ἐξῆλθον
did-you-see that the obedience of-the old-man is and I-went-out
ἀπ᾽ αὐτῶν, καὶ εἴ τι εἶδον, ἐποίησα τὴν δύναμίν μου
from them and if anything I-saw I-did the power my
φυλάξαι. Ταῦτα εἶπε τοῖς ἀδελφοῖς ὁ ἀββᾶς Σισόης. Εἷς
to-keep these(-things) said to-the brothers — abba Sisoes one
δὲ ἐξ ἡμῶν παρεκάλεσεν αὐτὸν, λέγων· Ποίησον ἀγάπην,
and of us besought him saying do (an)-act-of-love
εἰπὲ ἡμῖν καὶ αὐτὸς ἕνα λόγον. Καὶ εἶπεν· Ὁ κατέχων
tell us also yourself one word and he-said the(-one) holding
τὸ ἀψήφιστον ἐν γνώσει, ἐπιτελεῖ πᾶσαν τὴν Γραφήν.
the not-reckoning in knowledge fulfills all the Scripture

Πάλιν ἕτερος ἐξ ἡμῶν εἶπεν αὐτῷ· Τί ἐστι ξενιτεία,
again another of us said to-him what is strangerhood
Πάτερ; Καὶ εἶπε· Σιώπα, καὶ εἰπέ· Οὐκ ἔχω πρᾶγμα, ἐν
Father and he-said be-silent and say not I-have (a)-matter in
παντὶ τόπῳ ὅπου ἐὰν ἀπέρχῃ· καὶ αὕτη ἐστὶν ἡ ξενιτεία.
every place where — you-go and this is the strangerhood

XCII · PIOR

Pior reaps three harvests for a man without pay until the Lord moves him to bring the wages; he eats walking, so his soul shall feel no pleasure, and carries his own faults in a sack behind him and his brother's in a basket in front.

1 Ὁ μακάριος Πίωρ ἐργασάμενος εἰς τὸ θέρος παρά τινι,
the blessed Pior having-worked at the harvest for someone
ὑπεμίμνησκε λαβεῖν τὸν μισθόν· τοῦ δὲ ὑπερθεμένου, εἰς τὴν
reminded(-him) to-take the wage he and having-put(-it)-off to the
μονὴν ἐπανῆλθε. Πάλιν τοῦ καιροῦ καλέσαντος, θερίσας
monastery he-returned again the season having-called having-reaped
παρ' αὐτῷ, καὶ μετὰ προθυμίας ἐργασάμενος, οὐδὲν ἐκείνου
for him and with eagerness having-worked nothing that(-man)
παρασχόντος, ἐπανῆλθεν εἰς τὴν μονὴν αὐτοῦ. Τοῦ δὲ τρίτου
having-given he-returned to the monastery his the and third
συμπληρωθέντος ἔτους, τὴν συνήθη ἐργασίαν τελέσας
having-been-completed year the customary work having-finished
ὁ γέρων, ἀνεχώρησε μηδὲν εἰληφώς. Καὶ τοῦ Κυρίου
the old-man withdrew nothing having-received and the Lord
ἐτάσαντος τὸν ἐκείνου οἶκον, ἐπιφερόμενος τὸν μισθὸν,
having-tried the that(-man's) house bringing the wage
εἰς τὰ μοναστήρια περιῆγε ζητῶν τὸν ἅγιον. Καὶ μόλις
to the monasteries he-went-about seeking the saint and barely

εὑρὼν αὐτὸν, προσέπεσε τοῖς ποσὶν αὐτοῦ· καὶ ἀποδιδοὺς
having-found him he-fell-before the feet his and paying-it
ἔφασκεν, ὅτι Ἐμοὶ ὁ Κύριος ἀπέδωκεν. Ὁ δὲ ἐπέτρεψεν
he-said that to-me the Lord repaid he and directed
αὐτῷ παρασχεῖν αὐτὰ εἰς τὴν ἐκκλησίαν τῷ πρεσβυτέρῳ.
him to-give them to the church to-the priest
Ὁ ἀββᾶς Πίωρ περιπατῶν ἤσθιε. Πυθομένου δέ τινος, 2
— abba Pior walking ate having-inquired and someone
Διατί οὕτως ἐσθίεις; Οὐ βούλομαι, ἔφη, ὡς ἔργῳ τῷ
why thus do-you-eat not I-wish he-said as (a)-work the
βρώματι χρήσασθαι, ἀλλ' ὡς παρέργῳ. Πρὸς ἕτερον δὲ
food to-use but as (a)-side-work to another and
περὶ τούτου ἐρωτήσαντα ἀπεκρίνατο· Ἵνα μηδὲ ἐν τῷ
about this having-asked he-answered so-that not-even in the
ἐσθίειν, φησὶν, ἡδονῆς σωματικῆς αἰσθάνηται ἡ ψυχή μου.
to-eat he-says pleasure bodily may-perceive the soul my
Ἐγένετό ποτε συνέδριον ἐν Σκήτει περὶ σφαλέντος ἀδελφοῦ· 3
there-was once (a)-council in Scetis about (a)-fallen brother
καὶ ἐλάλουν οἱ Πατέρες· ὁ δὲ ἀββᾶς Πίωρ ἐσιώπα· ὕστερον
and spoke the Fathers — but abba Pior was-silent later
δὲ ἀναστὰς ἐξῆλθε, καὶ λαβὼν σάκκον, ἐπλήρωσε ψάμμου,
and having-risen he-went-out and having-taken (a)-sack he-filled-it with-sand
καὶ ἐβάστασεν εἰς τὸν ὦμον αὐτοῦ· καὶ λαβὼν εἰς μαλάκιν
and carried-it on the shoulder his and having-taken in (a)-little-basket
μικρὸν τῆς ψάμμου, ἐβάστασεν ἔμπροσθεν. Ἐπερωτηθεὶς
(a)-little of-the sand he-carried-it in-front having-been-asked
δὲ ὑπὸ τῶν Πατέρων, τί ἄν εἴη τοῦτο, λέγει· Οὗτος
and by the Fathers what — might-be this he-says this
ὁ σάκκος ὁ ἔχων τὴν πολλὴν ψάμμον τὰ ἐμά ἐστι
the sack the having the much sand the my are
πλημμελήματα, ὅτι πολλά ἐστι· καὶ ἀφῆκα αὐτὰ ὀπίσω μου,
faults for many are and I-left them behind me

τοῦ μὴ πονῆσαι περὶ αὐτῶν καὶ κλαῦσαι· καὶ ἰδοὺ ταῦτα τὰ
for-the not to-toil about them and to-weep and behold these the
μικρὰ τοῦ ἀδελφοῦ μου ἔμπροσθέν μού εἰσι, καὶ εἰς αὐτὰ
little(-faults) of-the brother my before me are and on them
ἀδολεσχῶ κρίνων αὐτόν. Οὐ χρὴ δὲ οὕτως ποιεῖν, ἀλλὰ
I-babble judging him not it-is-needful but thus to-do but
μᾶλλον τὰ ἐμὰ ἔμπροσθέν μου ἐνεγκεῖν, καὶ αὐτῶν φροντίσαι,
rather the mine before me to-bring and for-them to-care
καὶ παρακαλεῖν τὸν Θεὸν συγχωρῆσαί μοι. Καὶ ἀναστάντες
and to-beseech — God to-forgive me and having-risen
οἱ Πατέρες εἶπον· Ὄντως αὕτη ἐστὶν ἡ ὁδὸς τῆς σωτηρίας.
the Fathers said truly this is the road of-the salvation

XCIII · PITYRION

Pityrion, Antony's disciple, says the man who masters a passion drives out its demon.

1 Ἔλεγεν ὁ ἀββᾶς Πιτυρίων ὁ μαθητὴς τοῦ ἀββᾶ Ἀντωνίου,
said — abba Pityrion the disciple — of-abba Antony
ὅτι ὁ βουλόμενος ἀπελαύνειν δαίμονας πρότερον τὰ
that the(-one) wishing to-drive-out demons first the
πάθη δουλώσεται· οἵου γὰρ ἂν πάθους περιγένηταί
passions will-enslave of-whatever for — passion master
τις, τούτου καὶ τὸν δαίμονα ἀπελαύνει. Ἕπεται, φησὶ,
anyone of-this also the demon he-drives-out follows he-says
δαίμων τῇ ὀργῇ· ἐὰν τῆς ὀργῆς κρατήσῃς, ἀπελήλαται
(a)-demon the anger if the anger you-master has-been-driven-out
ταύτης ὁ δαίμων. Ὁμοίως καὶ περὶ ἑκάστου πάθους.
of-this the demon likewise also with each passion

Pistamon tells a brother uneasy at selling his work to name the price once, and to keep working, without agitation, even when he has enough.

Ἠρώτησέ τις ἀδελφὸς τὸν ἀββᾶν Πιστάμωνα, λέγων· Τί 1
asked a-certain brother — abba Pistamon saying what
ποιήσω, ὅτι θλίβομαι εἰς τὸ πωλῆσαι τὸ ἐργόχειρόν μου;
shall-I-do for I-am-distressed at the to-sell the handiwork my
Καὶ ἀποκριθεὶς ὁ γέρων, εἶπεν, ὅτι Καὶ ὁ ἀββᾶς Σισόης
and answering the old-man said that also — abba Sisoes
καὶ οἱ λοιποὶ ἐπώλουν τὸ ἐργόχειρον αὐτῶν· τοῦτο οὐκ
and the others sold the handiwork their this not
ἔστι βλάβος· ἀλλ' ὅταν πωλῇς, εἰπὲ ἅπαξ τὴν τιμὴν τοῦ
is harm but when you-sell say once the price of-the
σκεύους· λοιπὸν ἐὰν θέλῃς μικρὸν ἀφῆσαι τῆς τιμῆς, ἐν σοί
vessel thereafter if you-wish (a)-little to-let-go of-the price in you
ἐστιν. Οὕτω ἂν εὑρήσεις ἀνάπαυσιν. Πάλιν εἶπεν αὐτῷ ὁ
it-is thus — you-will-find rest again said to-him the
ἀδελφός· Ἐὰν ἔχω τὴν χρείαν μου ὅθεν δήποτε, θέλεις
brother if I-have the need my from-wherever ever do-you-wish
ἵνα φροντίσω ἐργόχειρον; Καὶ ἀποκριθεὶς ὁ γέρων εἶπεν·
that I-take-care-of (my)-handiwork and answering the old-man said
Ἐὰν ἔχῃς ὅσον δήποτε, μὴ καταλείψῃς τὸ ἐργόχειρόν
if you-have however-much ever not leave the handiwork
σου· ὅσον δύνασαι ποίησον, μόνον μὴ μετὰ ταραχῆς.
your as-much-as you-can do only not with agitation

Peter the Pionite takes watered wine in old age as if it were spiced wine and condemns himself. A host's questions are the key that opens a visitor's door; mourning is lent, not owned, until a man toils for it; Peter goes to the elders' table at Raithou to be the least there.

1 Ἔλεγον περὶ τοῦ ἀββᾶ Πέτρου τοῦ Πιονίτου εἰς τὰ
they-said about — abba Peter the Pionite in the
Κελλία, ὅτι οἶνον οὐκ ἔπινεν. Ὅτε οὖν ἐγήρασεν, ἐποίουν
Cells that wine not he-drank when then he-grew-old made
οἱ ἀδελφοὶ μικρὸν συγκεραστὸν, καὶ παρεκάλουν αὐτὸν
the brothers (a)-little mixed(-wine) and besought him
οἱ ἀδελφοὶ δέξασθαι. Καὶ ἔλεγε· Θαρσεῖτέ μοι, ὅτι ὡς
the brothers to-accept and he-said trust me that as
κονδίτον αὐτὸ ἔχω. Καὶ ἔκρινεν ἑαυτὸν εἰς τὸ συγκεραστόν.
spiced-wine it I-hold and he-judged himself for the mixed(-wine)

2 Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Πέτρῳ τῷ τοῦ ἀββᾶ Λὼτ, ὅτι
(a)-brother said — to-abba Peter the — of-abba Lot that
Ὅταν εἰμὶ ἐν τῷ κελλίῳ μου, ἐν εἰρήνῃ ἐστὶν ἡ ψυχή μου·
when I-am in the cell my in peace is the soul my
ἐὰν δὲ ἀδελφὸς παραβάλῃ μοι, καὶ τοὺς λόγους τῶν
if but (a)-brother visit me and the words of-the(-ones)
ἔξω εἴπῃ μοι, ταράσσεται ἡ ψυχή μου. Λέγει ὁ ἀββᾶς
outside tell me is-troubled the soul my says — abba
Πέτρος, ὅτι ἔλεγεν ὁ ἀββᾶς Λώτ· Τὸ κλειδίον σου ἀνοίγει
Peter that said — abba Lot the key your opens
τὴν θύραν μου. Λέγει ὁ ἀδελφὸς τῷ γέροντι· Τί ἐστι
the door my says the brother to-the old-man what is
τὸ ῥῆμα τοῦτο; Λέγει ὁ γέρων· Ἐάν τίς σοι παραβάλῃ,
the word this says the old-man if anyone you visit

λέγεις αὐτῷ· Πῶς ἔχεις; Πόθεν ἦλθες; Πῶς ἔχουσιν οἱ
you-say to-him how are-you whence did-you-come how are the
ἀδελφοί; Προσελάβοντό σε, ἢ οὔ; Καὶ τότε ἀνοίγεις τὴν
brothers did-they-receive you or not and then you-open the
θύραν τοῦ ἀδελφοῦ, καὶ ἀκούεις ἃ οὐ θέλεις. Λέγει αὐτῷ·
door of-the brother and you-hear what not you-wish he-says to-him
Οὕτως ἔχει. Τί οὖν ποιήσει ἄνθρωπος, ἐὰν ἔλθῃ πρὸς
thus it-is what then shall-do (a)-man if come to
αὐτὸν ἀδελφός; Λέγει ὁ γέρων· Τὸ πένθος ὅλον διδαχή
him (a)-brother says the old-man the mourning whole (a)-teaching
ἐστιν· ὅπου δὲ οὐκ ἔστι πένθος, οὐ δυνατὸν φυλάξασθαι.
is where but not there-is mourning not (it-is)-possible to-guard(-oneself)
Λέγει ὁ ἀδελφός· Ὅταν ἐν τῷ κελλίῳ ὦ, μετ' ἐμοῦ
says the brother when in the cell I-am with me
ἐστι τὸ πένθος· ἐὰν δὲ ἔλθῃ τις πρὸς μὲ, ἢ ἐξέλθω ἐκ
is the mourning if but come anyone to me or I-go-out from
τοῦ κελλίου, οὐχ εὑρίσκω αὐτό. Λέγει ὁ γέρων· Οὐδέπω
the cell not I-find it says the old-man not-yet
σοι ὑπετάγη, ἀλλ' ὡς ἐν χρήσει ἐστί. Γέγραπται γὰρ
to-you it-was-subjected but as on loan it-is it-is-written for
ἐν τῷ νόμῳ, ὅτι Ὅταν κτήσῃ παῖδα Ἑβραῖον, ἓξ ἔτη
in the law that when you-acquire (a)-servant Hebrew six years
δουλεύσει σοι· τῷ δὲ ἑβδόμῳ ἔτει ἐξαποστελεῖς αὐτὸν
he-will-serve you in-the but seventh year you-shall-send-out him
ἐλεύθερον. Ἐὰν δὲ δῷς αὐτῷ γυναῖκα, καὶ γεννήσῃ
free if but you-give him (a)-wife and he-beget
παιδία ἐν τῇ οἰκίᾳ σου, καὶ μὴ θελήσῃ ἀποδιδράσκειν
children in the house your and not he-wish to-run-away
διὰ τὴν γυναῖκα καὶ τὰ παιδία, προσάξεις αὐτὸν πρὸς
because-of the wife and the children you-shall-bring him to
τὴν θύραν τοῦ οἴκου, καὶ τρυπήσεις αὐτοῦ τὸ ὠτίον τῷ
the door of-the house and you-shall-pierce his the ear with-the

ὀπητίῳ, καὶ ἔσται σοι δοῦλος εἰς τὸν αἰῶνα. Λέγει
awl and he-will-be to-you (a)-slave for the age says
ὁ ἀδελφός· Τί ἐστι τὸ ῥῆμα τοῦτο; Λέγει ὁ γέρων·
the brother what is the word this says the old-man
Ἐὰν κάμῃ ἄνθρωπος εἰς πρᾶγμα κατὰ δύναμιν, οἵαν
if toil (a)-man at (a)-thing according-to (his)-power whatever
ὥραν ζητήσει αὐτὸ εἰς χρείαν, εὑρήσει αὐτό. Λέγει αὐτῷ·
hour he-will-seek it for need he-will-find it he-says to-him
Ποίησον ἀγάπην· εἰπέ μοι τὸ ῥῆμα τοῦτο. Λέγει ὁ
do (an)-act-of-love tell me the word this says the
γέρων· Οὐδὲ νόθος υἱὸς παραμένει τινὶ δουλεύων,
old-man not-even (a)-bastard son remains with-anyone serving
ἀλλ' ὁ γεννώμενος υἱὸς οὐκ ἐᾷ τὸν πατέρα αὐτοῦ.
but the begotten son not leaves the father his

3 Ἔλεγον περὶ τοῦ ἀββᾶ Πέτρου καὶ τοῦ ἀββᾶ Ἐπιμάχου,
they-said about — abba Peter and — abba Epimachus
ὅτι συμφωνηταὶ ἦσαν εἰς Ῥαϊθοῦ. Ἐσθιόντων δὲ αὐτῶν ἐν
that companions they-were at Raithou eating and they in
τῇ ἐκκλησίᾳ, ἐβιάσαντο αὐτοὺς ἐλθεῖν εἰς τὴν τράπεζαν τῶν
the church they-forced them to-come to the table of-the
γερόντων. Καὶ μετὰ πολλοῦ κόπου ἀπῆλθεν ὁ ἀββᾶς Πέτρος
old-men and with much toil went-away — abba Peter
μόνος. Καὶ ὡς ἀνέστησαν, λέγει αὐτῷ ὁ ἀββᾶς Ἐπίμαχος·
alone and when they-rose says to-him — abba Epimachus
Πῶς ἐτόλμησας ἀπελθεῖν εἰς τὴν τράπεζαν τῶν γερόντων; Ὁ
how did-you-dare to-go-away to the table of-the old-men he
δὲ ἀπεκρίθη· Εἰ ἐκάθισα μεθ' ὑμῶν, ὡς γέροντα οἱ ἀδελφοὶ
and answered if I-had-sat with you as (an)-old-man the brothers
ἤμελλον προτρέπεσθαί με εὐλογεῖν πρῶτον, καὶ ὡς μείζων
would urge me to-bless first and as greater

ὑμῶν εἶχον εἶναι· νῦν οὖν ἀπελθὼν ἐγγὺς τῶν Πατέρων,
than-you I-was-going to-be now then having-gone-away near the Fathers
μικρότερος πάντων ἤμην, καὶ ταπεινότερος τῷ λογισμῷ.
smaller than-all I-was and humbler in-the thought
Εἶπεν ὁ ἀββᾶς Πέτρος, ὅτι Οὐ δεῖ ἐπαίρεσθαι ὅταν 4
said — abba Peter that not one-must to-be-exalted when
ὁ Κύριος ποιήσῃ τι δι' ἡμῶν, ἀλλὰ μᾶλλον
the Lord do something through us but rather
εὐχαριστεῖν ὅτι κατηξιώθημεν προσκληθῆναι ὑπ' αὐτοῦ.
to-give-thanks that we-were-deemed-worthy to-be-called by him
Τοῦτο δ' ἐπὶ πάσης ἀρετῆς ἔλεγε συμφέρειν λογίζεσθαι.
this and in every virtue he-said it-profits to-reckon

XCVI · PAPHNUTIUS

Paphnutius, praying for his own sins near men who judge others, is told by an angel his name is in the book of life. He drinks a robber chief's wine at sword point and wins the band, brings back to Scetis a disciple who boasted ten women would not satisfy him and could not feed one, and keeps a monk in his cell.

Εἶπεν ὁ ἀββᾶς Παφνούτιος, ὅτι Διοδεύων ἐν τῇ ὁδῷ, 1
said — abba Paphnutius that journeying on the road
γέγονέ με ἀποπλανηθῆναι ἀπὸ δρόσου, καὶ εὑρεθῆναι
it-happened me to-stray because-of dew and to-be-found
πλησίον κώμης. Καὶ εἶδόν τινας ὁμιλοῦντας ἀλλήλοις· καὶ
near (a)-village and I-saw some conversing with-each-other and
ἐστάθην δεόμενος περὶ τῶν ἁμαρτιῶν μου. Καὶ ἰδοὺ ἄγγελος
I-stood praying about the sins my and behold (an)-angel
ἦλθεν ἔχων ῥομφαίαν, καὶ λέγει μοι· Παφνούτιε, πάντες
came having (a)-sword and says to-me Paphnutius all
οἱ κρίνοντες τοὺς ἀδελφοὺς αὐτῶν, ἐν ταύτῃ τῇ ῥομφαίᾳ
the(-ones) judging the brothers their by this the sword

ἀπολοῦνται· σὺ δὲ ὅτι οὐκ ἔκρινας, ἀλλ᾽ ἐταπείνωσας
will-perish you but because not you-judged but you-humbled
ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ, ὡς σὺ τὴν ἁμαρτίαν ποιήσας,
yourself before — God as you the sin having-done
διὰ τοῦτο τὸ ὄνομά σου ἐγγέγραπται ἐν βίβλῳ ζώντων.
because-of this the name your has-been-written in (the)-book of-(the)-living

2 Ἔλεγον περὶ τοῦ ἀββᾶ Παφνουτίου, ὅτι οὐ ταχέως ἔπινεν
they-said about — abba Paphnutius that not readily he-drank
οἶνον. Ὁδεύων δέ ποτε εὑρέθη ἐπάνω κολληγίου λῃστῶν,
wine journeying and once he-was-found upon (a)-band of-robbers
καὶ εὗρεν αὐτοὺς πίνοντας οἶνον. Ἐγνώριζε δὲ αὐτὸν ὁ
and he-found them drinking wine knew and him the
ἀρχιλῃστὴς, καὶ ᾔδει ὅτι οὐ πίνει οἶνον. Καὶ θεωρῶν
chief-robber and knew that not he-drinks wine and seeing
αὐτὸν ἀπὸ μεγάλου κόπου, ἐγέμισε ποτήριον οἴνου, καὶ τὸ
him from great toil he-filled (a)-cup of-wine and the
ξίφος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ λέγει τῷ γέροντι· Ἐὰν μὴ
sword in the hand his and he-says to-the old-man unless —
πίῃς, φονεύω σε. Γνοὺς δὲ ὁ γέρων ὅτι ἐντολὴν
you-drink I-kill you having-known and the old-man that (the)-command
Θεοῦ θέλει ποιῆσαι, βουλόμενος αὐτὸν κερδῆσαι, ἔλαβε
of-God he-wishes to-do wishing him to-gain he-took
καὶ ἔπιεν. Ὁ δὲ ἀρχιλῃστὴς μετενόησεν αὐτῷ, λέγων·
and drank the and chief-robber repented to-him saying
Συγχώρησόν μοι, ἀββᾶ, ὅτι ἔθλιψά σε. Καὶ λέγει ὁ
forgive me abba for I-afflicted you and says the
γέρων· Πιστεύω τῷ Θεῷ, ὅτι διὰ τὸ ποτήριον τοῦτο
old-man I-believe — in-God that because-of the cup this
ποιεῖ μετὰ σοῦ ἔλεος καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι
he-does with you mercy both in the now and in the coming
αἰῶνι. Λέγει ὁ ἀρχιλῃστής· Πιστεύω τῷ Θεῷ, ὅτι ἀπὸ τοῦ
age says the chief-robber I-believe — in-God that from the

νῦν οὐ μὴ κακοποιήσω τινά. Καὶ ἐκέρδησεν ὁ γέρων ὅλον
now not — I-shall-do-evil-to anyone and gained the old-man all
τὸν κολήγιον, ἀφεὶς τὸ θέλημα αὐτοῦ διὰ τὸν Κύριον.
the band having-let-go the will his for the Lord
Εἶπεν ὁ ἀββᾶς Ποιμὴν, ὅτι ἔλεγεν ὁ ἀββᾶς Παφνούτιος· 3
said — abba Poemen that said — abba Paphnutius
Εἰς πάσας τὰς ἡμέρας τῆς ζωῆς τῶν γερόντων, δὶς τὸν
for all the days of-the life of-the old-men twice the
μῆνα παρέβαλον αὐτοῖς, ἔχων ἀπ᾽ αὐτῶν τὸ διάστημα
month I-visited them having from them the distance
μίλια δώδεκα, καὶ πάντα λογισμὸν ἔλεγον αὐτοῖς, καὶ οὐδέν
miles twelve and every thought I-told them and nothing
μοι ἕτερον ἔλεγον, ἢ τοῦτο, ὅτι Εἰς ὃν ἂν τόπον
to-me other they-said than this that into whatever — place
ἀπέλθῃς, μὴ μετρεῖς ἑαυτὸν, καὶ ἔσῃ ἀναπαυόμενος.
you-go not measure yourself and you-will-be at-rest
Ἦν τις ἀδελφὸς εἰς Σκῆτιν μετὰ τοῦ ἀββᾶ 4
there-was a-certain brother in Scetis with — abba
Παφνουτίου, καὶ ἐπολεμεῖτο εἰς πορνείαν, καὶ ἔλεγεν· Ἐὰν
Paphnutius and he-was-warred-on to fornication and he-said if
λάβω δέκα γυναῖκας, οὐ πληρῶ τὴν ἐπιθυμίαν μου. Ὁ δὲ
I-take ten women not I-fill the desire my the and
γέρων παρεκάλει λέγων· Μὴ, τέκνον· πόλεμός ἐστι τῶν
old-man besought saying no child (a)-war it-is of-the
δαιμόνων. Καὶ οὐκ ἐπείσθη· ἀλλὰ ἀπῆλθεν εἰς Αἴγυπτον,
demons and not he-was-persuaded but went-away to Egypt
καὶ ἔλαβε γυναῖκα. Μετὰ δὲ χρόνον ἐγένετο ἀναβῆναι τὸν
and took (a)-wife after and (a)-time it-happened to-go-up the
γέροντα εἰς Αἴγυπτον, καὶ ἀπαντῆσαι αὐτὸν βαστάζοντα
old-man to Egypt and to-meet him carrying
σπυρίδια ὀστράκων· ὁ δὲ γέρων οὐκ ἐγνώρισεν αὐτόν·
baskets of-potsherds the and old-man not recognized him

ἀλλ᾽ αὐτὸς λέγει αὐτῷ· Ἐγώ εἰμι ὁ δεῖνα ὁ μαθητής σου.
but he says to-him I am the so-and-so the disciple your
Καὶ ἰδὼν αὐτὸν ὁ γέρων ἐν τῇ ἀτιμίᾳ ἐκείνῃ, ἔκλαυσε,
and having-seen him the old-man in the dishonor that he-wept
καὶ εἶπε· Πῶς ἀφῆκας τὴν τιμὴν ἐκείνην, καὶ ἦλθες εἰς
and said how did-you-leave the honor that and you-came to
τὴν ἀτιμίαν ταύτην; πλὴν ἔλαβες τὰς δέκα γυναῖκας; Καὶ
the dishonor this anyway did-you-take the ten women and
στενάξας εἶπε· Φύσει μίαν ἔλαβον, καὶ ταλαιπωρῶ πῶς
having-groaned he-said truly one I-took and I-labor how
αὐτὴν χορτάσω ἄρτον. Καὶ λέγει αὐτῷ ὁ γέρων· Δεῦρο
her to-fill (with)-bread and says to-him the old-man come
πάλιν μεθ᾽ ἡμῶν. Καὶ εἶπεν· Ἔνι μετάνοια, ἀββᾶ; Ὁ δὲ
again with us and he-said is-there repentance abba he and
εἶπεν· Ἔνι. Καὶ καταλείψας πάντα, ἠκολούθησεν αὐτόν· καὶ
said there-is and having-left all he-followed him and
εἰσελθὼν εἰς Σκῆτιν, ἀπὸ τῆς πείρας γέγονε δόκιμος μοναχός.
having-gone into Scetis from the experience he-became (a)-proven monk
5 Ἀδελφῷ ἐν τῇ ἐρήμῳ καθημένῳ τῆς Θηβαΐδος, ἦλθεν αὐτῷ
to-(a)-brother in the desert sitting — of-(the)-Thebaid came to-him
λογισμὸς, λέγων· Τί κάθῃ ἄκαρπος; ἀνάστα, ὕπαγε εἰς
(a)-thought saying why do-you-sit fruitless rise go to
κοινόβιον, καὶ ἐκεῖ ποιεῖς καρπόν. Καὶ ἀναστὰς ἦλθε πρὸς
(a)-community and there you-make fruit and having-risen he-came to
τὸν ἀββᾶν Παφνούτιον, καὶ ἀνήγγειλεν αὐτῷ τὸν λογισμόν.
— abba Paphnutius and reported to-him the thought
Καὶ λέγει αὐτῷ ὁ γέρων· Ὕπαγε, κάθου εἰς τὸ κελλίον
and says to-him the old-man go sit in the cell
σου· καὶ ποίει μίαν εὐχὴν πρωΐ, καὶ μίαν ἑσπέρας, καὶ μίαν
your and make one prayer at-dawn and one at-evening and one
τὴν νύκτα· καὶ ὅταν πεινᾷς, φάγε, καὶ ὅταν διψᾷς, πίε,
at-the night and when you-hunger eat and when you-thirst drink

καὶ ὅταν νυστάζῃς, κοιμῶ· καὶ μένε εἰς γῆν ἔρημον· καὶ
and when you-are-drowsy sleep and remain in land desert and
μὴ πεισθῇς αὐτῷ. Ἦλθε δὲ καὶ πρὸς τὸν ἀββᾶν Ἰωάννην,
not be-persuaded by-it he-came and also to — abba John
καὶ ἀνήγγειλε τὰ ῥήματα τοῦ ἀββᾶ Παφνουτίου. Καὶ λέγει
and reported the words — of-abba Paphnutius and says
ὁ ἀββᾶς Ἰωάννης· Μὴ ποιήσῃς ὅλως εὐχὴν, μόνον κάθου
— abba John not make at-all (a)-prayer only sit
εἰς τὸ κελλίον σου. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν ἀββᾶν
in the cell your and having-risen he-came to — abba
Ἀρσένιον, καὶ ἀνήγγειλεν αὐτῷ πάντα. Καὶ λέγει αὐτῷ ὁ
Arsenius and reported to-him all and says to-him the
γέρων· Κράτει ὡς οἱ Πατέρες σοι εἶπαν· πλεῖον γὰρ τούτων,
old-man hold as the Fathers you told more for than-these
οὐκ ἔχω σοί τι εἰπεῖν. Καὶ πληροφορηθεὶς ἀπῆλθεν.
not I-have to-you anything to-say and having-been-assured he-went-away

XCVII · PAUL

A Paul of the Thebaid splits vipers in his hands, saying all things are subject to the pure, as to Adam in paradise.

Διηγήσατό τις τῶν Πατέρων περί τινος ἀββᾶ Παύλου, 1
related one of-the Fathers about a-certain abba Paul
ὅτι ἦν ἐκ τῶν κάτω μερῶν τῆς Αἰγύπτου, οἰκῶν δὲ
that he-was from the lower parts — of-Egypt dwelling but
ἐν Θηβαΐδι· ὅτι οὗτος ἐκράτει ταῖς χερσὶν αὐτοῦ τοὺς
in (the)-Thebaid that this(-man) held in-the hands his the
κεράστας καὶ τοὺς ὄφεις, καὶ ἔσχιζεν αὐτοὺς μέσους. Καὶ
horned-vipers and the snakes and split them (in-the)-middle and

ἔβαλον αὐτῷ οἱ ἀδελφοὶ μετάνοιαν, λέγοντες· Εἰπὲ ἡμῖν
made to-him the brothers penitence saying tell us
ποίαν ἐργασίαν ἐποίησας, ἵνα λάβῃς τὴν χάριν ταύτην.
what work you-did so-that you-might-receive the grace this
Ὁ δὲ ἔφη· Συγχωρήσατέ μοι, Πατέρες· ἐάν τις κτήσηται
he and said forgive me Fathers if anyone acquire
καθαρότητα, πάντα ὑποτάσσεται αὐτῷ, ὡς τῷ Ἀδὰμ ὅτε
purity all(-things) are-subjected to-him as — to-Adam when
ἦν ἐν παραδείσῳ, πρὶν ἢ παραβῆναι τὴν ἐντολήν.
he-was in paradise before — to-transgress the commandment

XCVIII · PAUL THE BARBER

Paul the barber and his brother Timothy end their quarrels by agreeing to bear each other, and Paul says the stillness of the night is enough for a sober mind.

1 Ὁ ἀββᾶς Παῦλος ὁ κοσμίτης καὶ Τιμόθεος ὁ ἀδελφὸς
— abba Paul the barber and Timothy the brother
αὐτοῦ ἐκαθέζοντο ἐν τῇ Σκήτει· καὶ πολλαχῶς ἐγίνετο
his sat in — Scetis and often there-was
μεταξὺ αὐτῶν ἀντιλογία. Λέγει ὁ ἀββᾶς Παῦλος· Ἕως
between them dispute says — abba Paul until
πότε μένομεν οὕτως; Λέγει αὐτῷ ὁ ἀββᾶς Τιμόθεος·
when do-we-remain thus says to-him — abba Timothy
Ποίησον ἀγάπην· ὅταν ἔρχωμαι ἐπάνω σου, βάσταξόν με·
do (an)-act-of-love when I-come against you bear me
καὶ ὅταν ἔρχῃ καὶ σὺ ἐπάνω μου, βαστάζω σε κἀγώ. Καὶ
and when you-come also you against me bear you I-too and
ποιήσαντες οὕτως ἀνεπάησαν τὰς ἐπιλοίπους αὐτῶν ἡμέρας.
having-done thus they-rested the remaining their days

Ὁ αὐτὸς ἀββᾶς Παῦλος καὶ Τιμόθεος κοσμῖται ἦσαν ἐν 2
the same abba Paul and Timothy barbers were in
τῇ Σκήτει, καὶ ὠχλοῦντο ὑπὸ τῶν ἀδελφῶν. Καὶ λέγει
— Scetis and were-troubled by the brothers and says
ὁ Τιμόθεος τῷ ἀδελφῷ αὐτοῦ· Τί θέλομεν τὴν τέχνην
— Timothy to-the brother his what do-we-want the craft
ταύτην; οὐκ ἀφιόμεθα ἡσυχάσαι ὅλην τὴν ἡμέραν. Καὶ
this not we-are-let to-be-still all the day and
ἀποκριθεὶς ὁ ἀββᾶς Παῦλος εἶπεν αὐτῷ· Ἀρκεῖ ἡμῖν ἡ
answering — abba Paul said to-him suffices for-us the
ἡσυχία τῆς νυκτὸς, ἐὰν νήφῃ ἡμῶν ἡ διάνοια.
stillness of-the night if be-sober our the mind

XCIX · PAUL THE GREAT

Paul the Galatian warns that a monk going out for small needs is mocked by demons, and spends Lent on a measure of lentils, plaiting and unplaiting one basket.

Εἶπεν ὁ ἀββᾶς Παῦλος ὁ μέγας ὁ Γαλάτης, ὅτι 1
said — abba Paul the great the Galatian that
Μοναχὸς ἔχων μικρὰς χρείας ἐν τῇ κέλλῃ αὐτοῦ, καὶ
(a)-monk having small needs in the cell his and
ἐξερχόμενος φροντίσαι, ἀπὸ δαιμόνων χλευάζεται· καὶ γὰρ
going-out to-see-to(-them) by demons is-mocked and for
κἀγὼ αὐτὸ ἔπαθον.
I-too it suffered

2 Εἶπεν ὁ ἀββᾶς Παῦλος· Εἰς βόρβορόν εἰμι καταποντιζόμενος
said — abba Paul in mire I-am sinking
ἕως τραχήλου, καὶ κλαίω ἔμπροσθεν τοῦ Θεοῦ, λέγων·
up-to (the)-neck and I-weep before — God saying
Ἐλέησόν με.
have-mercy-on me

3 Ἔλεγον περὶ τοῦ ἀββᾶ Παύλου, ὅτι ἐποίησε τὴν
they-said about — abba Paul that he-spent the
Τεσσαρακοστὴν εἰς ματὶν φακοῦ καὶ λαγύνιον ὕδατος·
Forty-days on (a)-measure of-lentils and (a)-flask of-water
καὶ εἰς ἓν μαλάκιον, αὐτὸ πλέκων καὶ ἀναλύων, ἕως τῆς
and on one basket it plaiting and unloosing until the
ἑορτῆς ἐγκεκλεισμένος.
feast shut-in

C · PAUL THE SIMPLE

Paul the Simple, Antony's disciple, sees a man go into church black and dragged by demons, and come out shining with his angel beside him; the man confesses that the reading from Isaiah turned him from fornication, and all glorify God, who does not desire the sinner's death.

1 Ὁ μακάριος ἀββᾶς Παῦλος ὁ ἁπλοῦς ὁ τοῦ ἁγίου
the blessed abba Paul the simple the of-the holy
Ἀντωνίου μαθητὴς, διηγήσατο τοῖς Πατράσι πρᾶγμα
Antony disciple related to-the Fathers (a)-thing
τοιοῦτον· ὅτι ποτὲ παραγενόμενος ἐν μοναστηρίῳ
such that once having-arrived at (a)-monastery
ἐπισκέψεως ἕνεκεν καὶ ὠφελείας χάριν ἀδελφῶν, μετὰ
of-visiting for-the-sake and of-benefit for-the-sake of-the-brothers after
τὴν πρὸς ἀλλήλους αὐτῶν συνήθη διάλεκτον, εἴσεισιν
the with each-other their customary conversation he-goes-in

ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ τὴν συνήθη σύναξιν
into the holy — of-God church the customary synaxis
ἐπιτελέσαι. Ὁ δὲ μακάριος Παῦλος, φησὶ, προσέσχεν
to-perform the and blessed Paul he-says paid-heed
ἑκάστῳ τῶν εἰσιόντων εἰς τὴν ἐκκλησίαν, ὁποίᾳ ἄρα
to-each of-the(-ones) going-in into the church in-what then
ψυχῇ εἰσίασιν εἰς τὴν σύναξιν· εἶχε γὰρ καὶ ταύτην τὴν
soul they-go-in to the synaxis he-had for also this the
χάριν παρὰ Κυρίου δοθεῖσαν αὐτῷ, ὥστε ὁρᾷν ἕκαστον
grace from (the)-Lord given to-him so-as to-see each
ὁποῖός ἐστι τῇ ψυχῇ, ὥσπερ ἡμεῖς βλέπομεν ἀλλήλων
what-sort he-is in-the soul as we see of-each-other
τὰ πρόσωπα. Πάντων δὲ εἰσιόντων λαμπρᾷ τῇ ὄψει καὶ
the faces all and going-in with-bright the look and
φαιδρῷ τῷ προσώπῳ, τόν τε ἑκάστου ἄγγελον χαίροντα
with-shining the face the and of-each angel rejoicing
ἐπ᾽ αὐτῷ· ἕνα, φησὶν, ὁρᾷ μέλανα καὶ ζοφώδη ὅλον
over him one he-says he-sees black and dark (in)-whole
τὸ σῶμα, δαίμονας δὲ παρ᾽ ἑκατέρᾳ τοῦτον συνέχοντας
the body demons and on either-side this(-one) holding
καὶ ἕλκοντας αὐτὸν πρὸς ἑαυτοὺς, φορβειὰν ἐπὶ τὴν
and drawing him toward themselves (a)-halter on the
ῥῖνα αὐτοῦ βάλλοντας· τόν τε ἅγιον ἄγγελον αὐτοῦ ἀπὸ
nose his putting the and holy angel his from
μακρόθεν ἀκολουθοῦντα σκυθρωπὸν καὶ κατηφῆ. Ὁ δὲ
far-off following gloomy and downcast — and
Παῦλος δακρύσας, καὶ τῇ χειρὶ τὸ στῆθος πλήξας,
Paul having-wept and with-the hand the breast having-struck
ἐκαθέζετο πρὸ τῆς ἐκκλησίας, ἀποκλαιόμενος σφόδρα τὸν
sat before the church lamenting greatly the(-one)
οὕτως ὀφθέντα αὐτῷ. Οἱ δὲ θεασάμενοι τὸ παράδοξον
thus seen by-him they and having-beheld the strange(-behavior)

τοῦ ἀνδρὸς, τήν τε ὀξεῖαν αὐτοῦ μεταβολὴν, πρὸς δάκρυα
of-the man the and sharp his change to tears
καὶ πένθος κινήσαντα, ἠρώτων αὐτὸν παρακαλοῦντες τὸ
and mourning having-moved(-him) asked him beseeching the
διατί κλαίει εἰπεῖν, νομίζοντες μήτι καταγνοὺς ἁπάντων
why he-weeps to-say thinking lest having-condemned all
τοῦτο ποιεῖ· παρεκάλουν τε αὐτὸν καὶ εἰς τὴν σύναξιν
this he-does they-besought and him also into the synaxis
σὺν αὐτοῖς εἰσιέναι. Ὁ δὲ Παῦλος ἀποσεισάμενος αὐτοὺς
with them to-go-in — and Paul having-shaken-off them
ἐκαθέζετο ἔξω, ἀποδυρόμενος πάνυ τὸν οὕτως ὀφθέντα
sat outside bewailing very the(-one) thus seen
αὐτῷ. Μετ᾽ οὐ πολὺ δὲ τῆς συνάξεως ἀπολυθείσης, καὶ
by-him after not much and the synaxis having-been-dismissed and
πάντων ἐξιόντων, πάλιν κατεμάνθανεν ὁ Παῦλος ἕκαστον,
all going-out again observed — Paul each
βουλόμενος γνῶναι οἵοι ἐξέρχονται· καὶ ὁρᾷ τὸν ἄνδρα
wishing to-know what-sort they-come-out and he-sees the man
ἐκεῖνον, τὸν μέλαν καὶ ζοφῶδες ἔχοντα τὸ πρὶν ὅλον
that the(-one) black and dark having the before whole
τὸ σῶμα, ἐξερχόμενον ἀπὸ τῆς ἐκκλησίας λαμπρὸν τῷ
the body coming-out from the church bright in-the
προσώπῳ, λευκὸν τῷ σώματι, καὶ τοὺς δαίμονας μακράν
face white in-the body and the demons far-off
που ἀκολουθοῦντας, τόν τε ἅγιον ἄγγελον ἐγγὺς αὐτοῦ
somewhere following the and holy angel near him
παρεπόμενον καὶ χαίροντα ἐπ᾽ αὐτῷ σφόδρα. Ὁ δὲ
accompanying and rejoicing over him greatly — and
Παῦλος ἀναπηδήσας μετὰ χαρᾶς, ἐβόα εὐλογῶν τὸν
Paul having-leaped-up with joy cried-out blessing —
Θεὸν, καὶ λέγων· Ὦ τῆς ἀφάτου τοῦ Θεοῦ φιλανθρωπίας
God and saying O the ineffable — of-God love-for-man

καὶ ἀγαθότητος! Δραμὼν δὲ καὶ ἀναβὰς ἐπὶ βαθμοῦ
and goodness having-run and also having-gone-up on (a)-step
ὑψηλοῦ, μεγάλῃ τῇ φωνῇ ἔλεγε· Δεῦτε καὶ ἴδετε τὰ ἔργα
high with-great the voice he-said come and see the works
τοῦ Θεοῦ, ὡς φοβερὰ καὶ πάσης ἐκπλήξεως ἄξια. Δεῦτε
— of-God how fearful and of-all amazement worthy come
καὶ ἴδετε τὸν θέλοντα πάντας ἀνθρώπους σωθῆναι,
and see the(-one) wishing all men to-be-saved
καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Δεῦτε προσκυνήσωμεν
and to knowledge of-truth to-come come let-us-worship
καὶ προσπέσωμεν αὐτῷ, καὶ εἴπωμεν· Σὺ μόνος δύνασαι
and fall-down-before him and let-us-say you alone can
ἀφαιρεῖν ἁμαρτίας. Συνέτρεχον δὲ πάντες μετὰ σπουδῆς,
take-away sins ran-together and all with haste
τῶν λεγομένων ἀκοῦσαι βουλόμενοι. Καὶ συνελθόντων
the(-things) being-said to-hear wishing and having-come-together
πάντων, διηγεῖτο ὁ Παῦλος τὰ ὁραθέντα αὐτῷ πρὸ
all related — Paul the(-things) seen by-him before
τῆς εἰσόδου τῆς ἐκκλησίας, καὶ μετὰ ταῦτα πάλιν,
the entering of-the church and after these(-things) again
καὶ ἠξίου τὸν ἄνδρα ἐκεῖνον λέγειν τὴν αἰτίαν, δι᾽
and asked the man that to-tell the cause because-of
ἣν αὐτῷ τὴν τοσαύτην μεταβολὴν αἰφνιδίως ὁ Θεὸς
which to-him the so-great change suddenly — God
ἐχαρίσατο. Ὁ δὲ ἄνθρωπος ἐλεγχθεὶς ὑπὸ τοῦ Παύλου,
granted the and man having-been-exposed by — Paul
ἐνώπιον πάντων ἀνυποστόλως διηγεῖτο τὰ καθ᾽
before all unreservedly related the(-things) concerning
ἑαυτὸν, λέγων· Ἐγὼ ἄνθρωπός εἰμι ἁμαρτωλὸς, φησὶ, καὶ
himself saying I (a)-man am sinful he-says and
ἐκ πολλοῦ τοῦ χρόνου πορνείαις συνέζων μέχρι τοῦ νῦν·
from much the time in-fornications I-lived until the now

εἰσελθὼν δὲ νῦν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, ἤκουσα
having-gone-in and now into the holy — of-God church I-heard
τοῦ ἁγίου προφήτου Ἡσαΐου ἀναγινωσκομένου, μᾶλλον
the holy prophet Isaiah being-read rather
δὲ τοῦ Θεοῦ λαλοῦντος δι' αὐτοῦ· Λούσασθε, καθαροὶ
and — God speaking through him wash clean
γένεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν καρδιῶν
become take-away the wickednesses your from the hearts
ὑμῶν· ἀπέναντι τῶν ὀφθαλμῶν μου, μάθετε καλὸν ποιεῖν.
your before the eyes my learn good to-do
Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα
and if be the sins your like scarlet like snow
λευκανῶ. Καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ
I-will-whiten and if you-wish and listen-to me the good(-things)
τῆς γῆς φάγεσθε. Ἐγὼ δὲ, φησὶν, ὁ πόρνος, ἐπὶ τῷ
of-the earth you-will-eat I but he-says the fornicator at the
λόγῳ τοῦ προφήτου κατανυγεὶς τὴν ψυχὴν, καὶ στενάξας
word of-the prophet pierced in-the soul and having-groaned
ἐν τῇ διανοίᾳ μου, εἶπον πρὸς τὸν Θεὸν, ὅτι Σὺ ὁ Θεὸς,
in the mind my I-said to — God that you — God
ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ἃ
the(-one) having-come into the world sinners to-save what
νῦν διὰ τοῦ προφήτου σου ἐπηγγείλω, ταῦτα καὶ εἰς
now through the prophet your you-promised these(-things) also in
ἐμὲ πλήρωσον τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον. Ἰδοὺ γὰρ
me fulfill the sinner and unworthy behold for
ἀπὸ τοῦ νῦν δίδωμί σοι λόγον, συντάσσομαι δὲ, καὶ ἐκ
from the now I-give you (my)-word I-covenant and also from
καρδίας ἐξομολογοῦμαί σοι, ὅτι οὐ μὴ πράξω ἔτι
(the)-heart I-confess to-you that not — I-shall-do any-longer
τι τῶν κακῶν· ἀλλὰ ἀποτάσσομαι πᾶσαν παρανομίαν,
anything of-the evils but I-renounce all lawlessness

καὶ δουλεύσω σοι ἀπὸ τοῦ νῦν ἐν καθαρᾷ συνειδήσει.
and I-will-serve you from the now in pure conscience
Σήμερον, ὦ Δέσποτα, καὶ ἐκ τῆς ὥρας ταύτης, δέξαι
today O Master and from the hour this receive
με μετανοοῦντα, καὶ προσπίπτοντά σοι, καὶ ἀπεχόμενον
me repenting and falling-before you and abstaining
τοῦ λοιποῦ πάσης ἁμαρτίας. Ἐπὶ ταύταις, φησὶ, ταῖς
for-the rest from-all sin on these he-says the
συνθήκαις ἐξῆλθον ἀπὸ τῆς ἐκκλησίας, κρίνας ἐν τῇ
covenants I-went-out from the church having-resolved in the
ἐμαυτοῦ ψυχῇ, μηκέτι μηδὲν φαῦλον πρᾶξαι ἀπέναντι τοῦ
my-own soul no-longer anything base to-do before —
Θεοῦ. Ἀκούσαντες δὲ πάντες ἀνεβόων μιᾷ φωνῇ πρὸς
of-God having-heard and all cried-out with-one voice to
τὸν Θεόν· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν
— God how were-magnified the works your Lord all(-things) in
σοφίᾳ ἐποίησας. Γινώσκοντες τοίνυν, ὦ Χριστιανοὶ, ἐκ τῶν
wisdom you-made knowing therefore O Christians from the
θείων Γραφῶν, καὶ ἐκ τῶν ἁγίων ἀποκαλύψεων, ὅσην
divine Scriptures and from the holy revelations how-much
ἔχει ὁ Θεὸς ἀγαθότητα περὶ τοὺς εἰς αὐτὸν γνησίως
has — God goodness toward the(-ones) to him genuinely
καταφεύγοντας, καὶ διὰ μετανοίας τὰ πρότερον
fleeing-for-refuge and through repentance the(-things) before
αὐτοῖς ἐπταισμένα διορθουμένους, καὶ ὅτι ἀποδίδωσι
by-them stumbled correcting and that he-gives-back
πάλιν τὰ ἐπηγγελμένα ἀγαθὰ, οὐκ εἰσπραττόμενος δίκας
again the promised good(-things) not exacting penalties
ὑπὲρ τῶν προτέρων ἁμαρτιῶν, μὴ ἀπελπίσωμεν τῆς
for the former sins let-us-not despair of-the
ἑαυτῶν σωτηρίας. Ὥσπερ γὰρ διὰ Ἡσαΐου τοῦ προφήτου
our-own salvation as for through Isaiah the prophet

ἐπηγγείλατο, τοὺς ἐν ἁμαρτίαις βεβορβορωμένους πλύνειν,
he-promised the(-ones) in sins befouled to-wash
καὶ ὡς ἔριον καὶ ὡς χιόνα λευκαίνειν, καὶ τῶν ἀγαθῶν
and as wool and as snow to-whiten and of-the good(-things)
τῆς ἐπουρανίου Ἰερουσαλὴμ ἀξιοῦν· οὕτως αὖθις διὰ
of-the heavenly Jerusalem to-deem-worthy thus again through
τοῦ ἁγίου προφήτου Ἰεζεκιὴλ, μεθ' ὅρκου ἡμᾶς πληροφορεῖ
the holy prophet Ezekiel with oath us he-assures
μὴ ἀπολλύειν· Ζῶ γὰρ, φησὶ, λέγει Κύριος, ὅτι οὐ
not to-destroy I-live for he-says says (the)-Lord that not
βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι
I-wish the death of-the sinner as the to-turn
καὶ ζῆν αὐτόν.
and to-live him

CI · PETER OF DIOS

Peter of Dios, made priest, stands behind those he prays with, as Antony's life tells.

1 Πέτρος ὁ τῶν Δίου πρεσβύτερος, εἴποτε ηὔχετο μετά
Peter the — of-Dios priest whenever he-prayed with
τινων, ἐπειδὴ διὰ τὴν ἱερωσύνην ἔμπροσθεν ἵστασθαι
some since because-of the priesthood in-front to-stand
ἠναγκάζετο, τῇ ταπεινοφροσύνῃ ἑαυτὸν ὀπίσω ἵστα
he-was-compelled by-the humility himself behind he-set
ἐξομολογούμενος· ὡς εἰς τὸν βίον τοῦ ἀββᾶ Ἀντωνίου
confessing as in the life — of-abba Antony
γέγραπται. Τοῦτο ἐποίει, μηδένα λυπῶν.
it-is-written this he-did no-one grieving

An Egyptian visitor is scandalized at a Roman monk's soft clothes and bedding, until the Roman draws from him that he slept on the ground as a watchman, and tells how he left palace, gold, and servants for this little rest. An old man who rashly put out a good disciple finds him waiting outside and calls him the father.

῏Ηλθέ ποτε μοναχός τις Ῥωμαῖος, καὶ ᾤκησεν ἐν 1
came once monk a-certain Roman and dwelt in
Σκήτει ἐγγύτερον τῆς ἐκκλησίας· εἶχε δὲ καὶ ἕνα δοῦλον
Scetis nearer the church he-had and also one slave
ὑπηρετοῦντα αὐτῷ. Ἰδὼν δὲ ὁ πρεσβύτερος τὴν
serving him having-seen and the priest the
ἀσθένειαν αὐτοῦ, καὶ μαθὼν ἐκ ποίας ἀναπαύσεώς
weakness his and having-learned from what-kind-of ease
ἐστιν, εἴ τι ᾠκονόμει καὶ ἤρχετο εἰς τὴν ἐκκλησίαν,
he-is if anything he-provided and came to the church
ἔπεμπεν αὐτῷ. Καὶ ποιήσας εἰκοσιπέντε ἔτη ἐν Σκήτει,
he-sent(-it) to-him and having-spent twenty-five years in Scetis
γέγονε διορατικὸς καὶ ὀνομαστός. Ἀκούσας δέ τις τῶν
he-became clairvoyant and renowned having-heard and one of-the
μεγάλων Αἰγυπτίων περὶ αὐτοῦ, ἦλθεν ἰδεῖν αὐτὸν,
great Egyptians about him came to-see him
προσδοκῶν σωματικήν τινα πολιτείαν περισσοτέραν εὑρεῖν
expecting bodily some way-of-life more-abundant to-find
ἐν αὐτῷ. Εἰσελθὼν δὲ ἠσπάσατο αὐτόν· καὶ ποιήσαντες
in him having-gone-in and he-greeted him and having-made
εὐχὴν ἐκάθισαν. Βλέπει δὲ αὐτὸν ὁ Αἰγύπτιος φοροῦντα
(a)-prayer they-sat sees and him the Egyptian wearing
ἱμάτια τρυφερὰ, καὶ χαράδριον καὶ δέρμα ὑποκάτω
garments soft and (a)-mat and (a)-skin beneath

αὐτοῦ, καὶ προσκεφάλαιον μικρόν· ἔχοντα δὲ καὶ τοὺς
him and (a)-pillow small having and also the
πόδας καθαροὺς μετὰ σανδαλίων· καὶ ταῦτα ἰδὼν
feet clean with sandals and these(-things) having-seen
ἐσκανδαλίσθη, ὅτι ἐν τῷ τόπῳ οὐχ ὑπῆρχε τοιαύτη
he-was-scandalized because in the place not was such
διαγωγὴ, ἀλλὰ μᾶλλον σκληραγωγία. Καὶ διορατικὸς ὢν
conduct but rather austerity and clairvoyant being
ὁ γέρων ἐνόησεν ὅτι ἐσκανδαλίσθη, καὶ λέγει τῷ
the old-man perceived that he-was-scandalized and says to-the(-one)
ὑπηρετοῦντι αὐτόν· Ποίησον ἡμῖν ἑορτὴν διὰ τὸν ἀββᾶν
serving him make for-us (a)-feast for the abba
σήμερον. Εὐκαίρησε δὲ μικρὸν λάχανον, καὶ ἥψησε·
today he-had-at-hand and (a)-few vegetables and cooked(-them)
καὶ τῇ ὥρᾳ ἀναστάντες ἔφαγον. Εἶχε δὲ καὶ μικρὸν
and at-the hour having-risen they-ate had and also (a)-little
οἶνον διὰ τὴν ἀσθένειαν αὐτοῦ ὁ γέρων· καὶ ἔπιον.
wine because-of the weakness his the old-man and they-drank
Καὶ ὡς ἐγένετο ὀψὲ, ἔβαλον τοὺς δώδεκα ψαλμοὺς, καὶ
and when it-became late they-said the twelve psalms and
ἐκοιμήθησαν· ὁμοίως δὲ καὶ τὴν νύκτα. Ἀναστὰς δὲ τὸ
slept likewise and also in-the night having-risen and at-the
πρωῒ ὁ Αἰγύπτιος, λέγει αὐτῷ· Εὔξαι ὑπὲρ ἐμοῦ. Καὶ
dawn the Egyptian says to-him pray for me and
ἐξῆλθε μὴ ὠφεληθείς. Καὶ ὡς ἀπῆλθε μικρὸν, θέλων
he-went-out not having-been-benefited and when he-went-away (a)-little wishing
ὁ γέρων ὠφελῆσαι αὐτὸν, πέμψας μετεκαλέσατο αὐτόν·
the old-man to-benefit him having-sent be-called-back him
καὶ ὡς ἦλθε, μετὰ χαρᾶς πάλιν ἐδέξατο αὐτὸν, καὶ
and when he-came with joy again he-received him and
ἐπηρώτησεν αὐτὸν, λέγων· Ποίας χώρας εἶ; Καὶ λέγει·
asked him saying of-what country are-you and he-says

Αἰγύπτιος. Ποίας δὲ πόλεως; Ὁ δὲ ἔφη· Ἐγὼ ὅλως οὐκ
(an)-Egyptian of-what and city he and said I at-all not
εἰμὶ πολίτης. Καὶ λέγει· Τί ἦν τὸ ἔργον σου εἰς τὴν
am (a)-citizen and he-says what was the work your in the
κώμην σου; Καὶ λέγει· Τηρητής. Καὶ λέγει· Ποῦ ἐκοιμῶ;
village your and he-says (a)-watchman and he-says where did-you-sleep
Ὁ δὲ εἶπεν· Εἰς τὸν ἀγρόν. Εἶχες, φησὶ, στρωμνὴν
he and said in the field had-you he-says (a)-bed
ὑποκάτω σου; Καὶ λέγει· Ναὶ, εἰς ἀγρὸν εἶχον θεῖναι
beneath you and he-says yes in (a)-field had-I to-put
στρῶμα ὑποκάτω μου; Ἀλλὰ πῶς; Εἶπε δέ· Χαμαί.
(a)-mattress beneath me but how he-said and on-the-ground
Λέγει αὐτῷ πάλιν· Καὶ τί εἶχες βρῶμα εἰς τὸν ἀγρόν;
he-says to-him again and what had-you (as)-food in the field
ἢ ποῖον οἶνον ἔπινες; Ἀπεκρίθη πάλιν· Ἔνι βρῶμα ἢ
or what-kind-of wine did-you-drink he-answered again is-there food or
πόμα εἰς ἀγρόν; Ἀλλὰ πῶς ἔζης; φησί. Λέγει· Ἤσθιον
drink in (a)-field but how did-you-live he-says he-says I-ate
ξηρὸν ἄρτον, καὶ εἰ εὕρισκον μικρὸν ταρίχιν, καὶ ὕδωρ.
dry bread and if I-found (a)-little salt-fish and water
Ἀποκριθεὶς δὲ ὁ γέρων εἶπε· Μέγας κόπος. Ἔνι δὲ καὶ
answering and the old-man said great toil is-there and also
βαλανεῖον εἰς τὴν κώμην, ἵνα λούησθε; Ὁ δὲ εἶπεν· Οὐχί·
(a)-bath in the village so-that you-may-wash he and said no
ἀλλὰ εἰς τὸν ποταμὸν ὅτε θέλομεν. Ὡς οὖν ἐξέλαβεν αὐτὸν
but in the river when we-wish when then drew-out him
ὁ γέρων εἰς ταῦτα πάντα, καὶ ἔμαθε τοῦ προτέρου
the old-man in these(-things) all and learned of-the former
βίου αὐτοῦ τὴν θλῖψιν, θέλων αὐτὸν ὠφελῆσαι, διηγήσατο
life his the hardship wishing him to-benefit he-related
αὐτῷ τὴν προτέραν αὐτοῦ διαγωγὴν τὴν ἐν τῷ κόσμῳ,
to-him the former his conduct the in the world

λέγων· Ἐμὲ τὸν ταπεινὸν ὃν βλέπεις, ἐκ τῆς μεγάλης
saying me the humble(-one) whom you-see from the great
πόλεως Ῥώμης εἰμὶ, καὶ μέγας γέγονα εἰς τὸ παλάτιον
city Rome I-am and great I-became in the palace
τοῦ βασιλέως. Καὶ ὡς ἤκουσε ὁ Αἰγύπτιος τὴν ἀρχὴν
of-the emperor and when heard the Egyptian the beginning
τοῦ λόγου, κατενύγη, καὶ ἤκουεν ἀκριβῶς τὰ λεγόμενα
of-the word he-was-pierced and listened-to carefully the(-things) said
παρ᾽ αὐτοῦ. Πάλιν δὲ λέγει αὐτῷ· Κατέλιπον οὖν τὴν
by him again and he-says to-him I-left then the
πόλιν, καὶ ἦλθον εἰς τὴν ἔρημον ταύτην· καὶ πάλιν ἐμὲ ὃν
city and came into the desert this and again me whom
βλέπεις, οἴκους μεγάλους εἶχον καὶ χρήματα πολλά· καὶ
you-see houses great I-had and money much and
καταφρονήσας αὐτῶν, ἦλθον εἰς τὸ μικρὸν κελλίον τοῦτο·
having-despised them I-came into the little cell this
καὶ πάλιν ἐμὲ ὃν βλέπεις, κραββάτους εἶχον ὁλοχρύσους,
and again me whom you-see beds I-had all-gold
ἔχοντας πολυτίμους στρωμνάς· καὶ ἀντ᾽ αὐτῶν, δέδωκέ
having costly coverings and instead-of them has-given
μοι ὁ Θεὸς τὸ χαράδριον τοῦτο καὶ τὸ δέρμα· πάλιν τὰ
me — God the mat this and the skin again the
ἐνδύματά μου πολλῆς τιμῆς ἄξια ἦν· καὶ ἀντὶ ἐκείνων,
clothes my of-much price worth were and instead-of those
φορῶ τὰ εὐτελῆ ταῦτα ἱμάτια· πάλιν εἰς τὸ ἄριστόν μου
I-wear the cheap these garments again on the dinner my
πολὺ χρυσίον ἀνηλίσκετο· καὶ ἀντὶ ἐκείνου, ἔδωκέ μοι ὁ
much gold was-spent and instead-of that gave me —
Θεὸς τὸ μικρὸν λάχανον τοῦτο, καὶ τὸ μικρὸν ποτήριον
God the little vegetable this and the little cup
τοῦ οἴνου. Ἦσαν δὲ οἱ ὑπηρετοῦντές μοι παῖδες πολλοί·
of-the wine were and the serving me servants many

καὶ ἰδοὺ ἀντ᾽ ἐκείνων, κατένυξεν ὁ Θεὸς τὸν γέροντα
and behold instead-of those pierced — God the old-man
τοῦτον ὑπηρετῆσαί μοι· ἀντὶ δὲ βαλανείου, βάλλω τὸ
this to-serve me instead-of and (a)-bath I-put the
μικρὸν ὕδωρ εἰς τοὺς πόδας μου, καὶ τὰ σανδάλια διὰ
little water on the feet my and the sandals because-of
τὴν ἀσθένειάν μου· πάλιν ἀντὶ μουσικῶν καὶ κιθαρῶν,
the weakness my again instead-of musicians and harps
λέγω τοὺς δώδεκα ψαλμούς· ὁμοίως καὶ τὴν νύκτα,
I-say the twelve psalms likewise also in-the night
ἀντὶ τῶν ἁμαρτιῶν ὧν ἐποίουν, ἄρτι μετὰ ἀναπαύσεως
instead-of the sins which I-did now with rest
ποιῶ μικράν μου λειτουργίαν. Παρακαλῶ οὖν σε, ἀββᾶ,
I-do little my liturgy I-beseech then you abba
μὴ σκανδαλισθῇς εἰς τὴν ἀσθένειάν μου. Ταῦτα ἀκούσας
not be-scandalized at the weakness my these(-things) having-heard
ὁ Αἰγύπτιος, εἰς ἑαυτὸν ἐλθών, εἶπεν· Οὐαί μοι, ὅτι
the Egyptian to himself having-come said woe to-me for
ἀπὸ πολλῆς θλίψεως τοῦ κόσμου εἰς ἀνάπαυσιν ἦλθον,
from much hardship of-the world into rest I-came
καὶ ἃ οὐκ εἶχον τότε, νῦν ἔχω· σὺ δὲ ἀπὸ πολλῆς
and what not I-had then now I-have you but from much
ἀναπαύσεως εἰς θλῖψιν ἦλθες, καὶ ἀπὸ πολλῆς δόξης
rest into hardship you-came and from much glory
καὶ πλούτου ἦλθες εἰς ταπείνωσιν καὶ πτωχείαν. Πολλὰ
and wealth you-came into humility and poverty much
δὲ ὠφεληθεὶς ἀπῆλθε, καὶ ἐγένετο αὐτοῦ φίλος, καὶ
and having-been-benefited he-went-away and became his friend and
παρέβαλλεν αὐτῷ συχνῶς δι᾽ ὠφέλειαν· ἦν γὰρ ἀνὴρ
visited him often for benefit he-was for (a)-man
διακριτικὸς, καὶ πλήρης εὐωδίας τοῦ ἁγίου Πνεύματος.
discerning and full of-fragrance of-the holy Spirit

2 Ὁ αὐτὸς εἶπεν, ὅτι ἦν τις γέρων ἔχων καλὸν μαθητήν·
the same said that there-was a-certain old-man having (a)-good disciple
καὶ ἀπὸ ὀλιγωρίας ἔβαλεν αὐτὸν ἔξω μετὰ τῆς μηλωτῆς
and from negligence he-put him out with the sheepskin
αὐτοῦ. Ὁ δὲ ἀδελφὸς ὑπέμεινεν ἔξω καθήμενος. Καὶ
his the and brother waited outside sitting and
ἀνοίξας ὁ γέρων, εὗρεν αὐτὸν καθήμενον, καὶ ἔβαλεν αὐτῷ
having-opened the old-man found him sitting and made to-him
μετάνοιαν, λέγων· Ὦ Πάτερ, ἡ ταπείνωσις τῆς μακροθυμίας
penitence saying O Father the humility of-the long-suffering
σου ἐνίκησε τὴν ἐμὴν ὀλιγωρίαν. Δεῦρο ἔσω· ἀπὸ τοῦ νῦν
your conquered the my negligence come inside from the now
σὺ γέρων εἶ καὶ Πατὴρ, ἐγὼ δὲ νεώτερος καὶ μαθητής.
you (the)-old-man are and Father I but younger and disciple

CIII · RUFUS

Rufus calls stillness the mother of the virtues and sets the obedient disciple above the sick man, the hospitable, and the hermit in a vision of four ranks in heaven, ending in praise of obedience.

1 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ῥοῦφον· Τί ἐστιν ἡσυχία,
(a)-brother asked — abba Rufus what is stillness
καὶ τίς ἡ ὠφέλεια αὐτῆς; Ὁ δὲ γέρων λέγει αὐτῷ·
and what (is)-the benefit its the and old-man says to-him
Ἡσυχία ἐστὶ, τὸ καθεσθῆναι ἐν τῷ κελλίῳ μετὰ φόβου
stillness is the to-sit in the cell with fear
καὶ γνώσεως Θεοῦ, ἀπεχόμενος μνησικακίας καὶ
and knowledge of-God abstaining-from remembrance-of-wrongs and
ὑψηλοφροσύνης. Ἡ τοιαύτη ἡσυχία γεννήτρια οὖσα πασῶν
high-mindedness the such stillness (the)-mother being of-all

τῶν ἀρετῶν, φυλάσσει τὸν μοναχὸν ἀπὸ τῶν πεπυρωμένων
the virtues guards the monk from the fiery
βελῶν τοῦ ἐχθροῦ, μὴ ἐῶσα αὐτὸν τιτρώσκεσθαι ὑπ᾽
arrows of-the enemy not letting him to-be-wounded by
αὐτῶν. Ναὶ, ἀδελφὲ, ταύτην κτῆσαι, μνημονεύων τῆς
them yes brother this acquire remembering the
ἐξόδου τοῦ θανάτου σου, ὅτι οὐκ οἶδας ποίᾳ ὥρᾳ ὁ
departure of-the death your that not you-know at-what hour the
κλέπτης ἔρχεται. Λοιπὸν οὖν, νῆφε περὶ τῆς ἰδίας ψυχῆς.
thief comes henceforth then be-sober about the own soul
Εἶπεν ὁ ἀββᾶς Ῥοῦφος, ὅτι ὁ καθήμενος ἐν ὑποταγῇ 2
said — abba Rufus that the(-one) sitting in submission
πατρὸς πνευματικοῦ, πλείονα μισθὸν ἔχει τοῦ ἐν τῇ
of-(a)-father spiritual more wage has than-the(-one) in the
ἐρήμῳ καθ᾽ ἑαυτὸν ἀναχωροῦντος. Ἔλεγε δὲ οὗτος, ὅτι
desert by himself withdrawing he-said and this(-man) that
διηγήσατό τις τῶν Πατέρων, λέγων, ὅτι Εἶδον τέσσαρα
related one of-the Fathers saying that I-saw four
τάγματα ἐν τῷ οὐρανῷ· τὸ πρῶτον τάγμα, ἄνθρωπος
orders in the heaven the first order (a)-man
ἀσθενῶν καὶ εὐχαριστῶν τῷ Θεῷ· τὸ δεύτερον τάγμα,
being-ill and giving-thanks — to-God the second order
ὁ τὴν φιλοξενίαν διώκων καὶ εἰς τοῦτο ἱστάμενος καὶ
the(-one) the hospitality pursuing and in this standing and
διακονῶν· τὸ τρίτον τάγμα, ὁ τὴν ἔρημον διώκων
serving the third order the(-one) the desert pursuing
καὶ μὴ βλέπων ἄνθρωπον· τὸ τέταρτον τάγμα, ὁ ἐν
and not seeing (a)-man the fourth order the(-one) in
ὑποταγῇ καθήμενος πατρὸς καὶ ὑποτασσόμενος αὐτῷ διὰ
submission sitting of-(a)-father and submitting to-him for
τὸν Κύριον. Ἐφόρει δὲ ὁ διὰ τὴν ὑπακοὴν μανιάκην
the Lord wore and the(-one) for the obedience (a)-collar

χρυσοῦν καὶ γοργόνα, καὶ πλείονα τῶν ἄλλων δόξαν
golden and (a)-gorgon and more than-the others glory
εἶχεν. Ἐγὼ δὲ, φησὶ, εἶπον τῷ ὁδηγοῦντί με, ὅτι Πῶς
he-had I and he-says said to-the(-one) guiding me that how
οὗτος ὁ μικρότερος παρὰ τοὺς ἄλλους πλείονα δόξαν ἔχει;
this(-one) the smaller beside the others more glory has
Ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι· Ἐπειδὴ ὁ τὴν φιλοξενίαν
he and answering said to-me since the(-one) the hospitality
διώκων ἰδίῳ θελήματι ποιεῖ· καὶ ὁ εἰς τὴν ἔρημον ὢν
pursuing by-own will does and the(-one) in the desert being
ἰδίῳ θελήματι ἀνεχώρησεν· οὗτος δὲ ὁ τὴν ὑπακοὴν
by-own will withdrew this(-one) but the(-one) the obedience
ἔχων, πάντα τὰ θελήματα αὐτοῦ καταλείψας, κρέμαται τῷ
having all the wills his having-left hangs —
Θεῷ καὶ τῷ ἰδίῳ Πατρί· ἕνεκα τούτου πλείονα δόξαν
on-God and on-the own Father for-the-sake of-this more glory
ἔλαβε παρὰ τοὺς ἄλλους. Διὰ τοῦτο, ὦ τέκνα, καλὴ
he-received beside the others because-of this O children good
ἡ ὑπακοὴ ἡ διὰ τὸν Κύριον γινομένη. Ἠκούσατε, τέκνα,
(is)-the obedience the for the Lord happening you-have-heard children
ἐκ μέρους, τοῦ κατορθώματος τούτου ὀλίγον τι ἴχνος. Ὦ
in part of-the achievement this (a)-little some trace O
ὑπακοὴ σωτηρία πάντων τῶν πιστῶν! ὦ ὑπακοὴ γεννήτρια
obedience salvation of-all the faithful O obedience mother
πασῶν τῶν ἀρετῶν! ὦ ὑπακοὴ βασιλείας εὑρέτις! ὦ ὑπακοὴ
of-all the virtues O obedience of-(the)-kingdom discoverer O obedience
οὐρανοὺς ἀνοίγουσα, καὶ ἀνθρώπους ἀπὸ γῆς ἀνάγουσα!
heavens opening and men from earth leading-up
ὦ ὑπακοὴ πάντων τῶν ἁγίων τροφὲ, ἐξ ἧς ἐθήλασαν,
O obedience of-all the saints nurse from which they-sucked
καὶ διὰ σοῦ ἐτελειώθησαν! ὦ ὑπακοὴ σύνοικε ἀγγέλων!
and through you were-perfected O obedience housemate of-angels

CIV · ROMANUS

Romanus, dying, says he never gave an order without first resolving not to be angry if it was not done.

Μέλλοντος τοῦ ἀββᾶ Ῥωμανοῦ τελευτᾶν, συνήχθησαν πρὸς 1
being-about — abba Romanus to-die were-gathered to
αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες αὐτῷ· Πῶς ὀφείλομεν
him the disciples his saying to-him how ought-we
διοικηθῆναι; Ὁ δὲ γέρων εἶπεν· Οὐδέποτε οἶδα εἰπών τινι
to-be-governed the and old-man said never I-know having-told anyone
ὑμῶν ποιῆσαί τί ποτε, εἰ μὴ πρότερον ἐποίησα τὸν
of-you to-do anything ever if not first I-made the
λογισμὸν, μὴ ὀργισθῆναι ἐὰν μὴ ποιήσῃ ὃ εἶπον γενέσθαι·
thought not to-be-angry unless — he-do what I-said to-be-done
καὶ οὕτως ὅλον τὸν χρόνον ἡμῶν ᾠκήσαμεν μετ' εἰρήνης.
and thus all the time our we-dwelt with peace

CV · SISOES, 1–20

Sisoes turns a brother from revenge, prays thirty years to be kept from his tongue, heals his disciple Abraham by refusing to let God go, and unknowingly raises a dead boy; dying, his face shines as Antony and the saints come.

Ἀδελφὸς ἀδικηθεὶς ὑπὸ ἑτέρου ἀδελφοῦ, ἦλθε πρὸς τὸν 1
(a)-brother having-been-wronged by another brother came to —
ἀββᾶν Σισόην, καὶ λέγει αὐτῷ· Ἠδικήθην παρά τινος
abba Sisoes and says to-him I-was-wronged by a-certain
ἀδελφοῦ, κἀγὼ θέλω ἐμαυτὸν ἐκδικῆσαι. Ὁ δὲ γέρων
brother and-I wish myself to-avenge the and old-man

παρεκάλει αὐτὸν, λέγων· Μὴ, τέκνον, κατάλειψον δὲ
besought him saying no child leave but
μᾶλλον τῷ Θεῷ τὰ τῆς ἐκδικήσεως. Ὁ δὲ ἔλεγεν· Οὐ
rather — to-God the(-things) of-the vengeance he and said not
παύσομαι ἕως οὗ ἐκδικήσω ἐμαυτόν. Εἶπε δὲ ὁ γέρων·
I-shall-cease until which I-avenge myself said and the old-man
Εὐξώμεθα, ἀδελφέ. Καὶ ἀναστὰς εἶπεν ὁ γέρων· Ὁ Θεὸς,
let-us-pray brother and having-risen said the old-man O God
οὐκ ἔτι σου ἔχομεν χρείαν φροντίζειν περὶ ἡμῶν· ἡμεῖς
not any-longer of-you we-have need to-take-thought for us we
γὰρ τὴν ἐκδίκησιν ἑαυτῶν ποιοῦμεν. Τοῦτο οὖν ἀκούσας ὁ
for the vengeance of-ourselves make this then having-heard the
ἀδελφὸς, ἔπεσε παρὰ τοὺς πόδας τοῦ γέροντος, εἰπών· Οὐκ
brother fell at the feet of-the old-man saying not
ἔτι δικάζομαι μετὰ τοῦ ἀδελφοῦ, συγχώρησόν μοι, ἀββᾶ,
any-longer I-go-to-law with the brother forgive me abba
2 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Τί ποιήσω;
(a)-brother asked — abba Sisoes saying what shall-I-do
ὅτι ἀπαντῶ εἰς τὴν ἐκκλησίαν, καὶ πολλάκις γίνεται
for I-go to the church and often there-is
ἀγάπη, καὶ κρατοῦσί με. Λέγει αὐτῷ ὁ γέρων· Κόπον
(an)-agape and they-hold me says to-him the old-man toil
ἔχει τὸ πρᾶγμα. Λέγει οὖν Ἀβραὰμ ὁ μαθητὴς αὐτοῦ·
has the matter says then Abraham the disciple his
Ἐὰν γένηται ἀπάντησις ἐν σαββάτῳ ἢ ἐν Κυριακῇ, καὶ
if there-be (a)-meeting on (the)-sabbath or on (the)-Lord's-day and
πίῃ ἀδελφὸς τρία ποτήρια, μὴ πολλά ἐστι; Λέγει ὁ
drink (a)-brother three cups not much is-it says the
γέρων· Ἐὰν οὐκ ἔστι Σατανᾶς, πολλὰ οὐκ ἔστιν.
old-man if not there-is Satan much not it-is

Ἔλεγεν ὁ μαθητὴς τοῦ ἀββᾶ Σισόη πρὸς αὐτόν· Πάτερ, 3
said the disciple — of-abba Sisoes to him Father
ἐγήρασας, ἀπέλθωμεν ἐγγὺς τῆς οἰκουμένης, λοιπόν.
you-have-grown-old let-us-go-away near the inhabited-world thereafter
Λέγει αὐτῷ ὁ γέρων· Ὅπου οὐκ ἔνι γυνὴ, ἐκεῖ
says to-him the old-man where not is (a)-woman there
ἀπέλθωμεν. Λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Καὶ ποῦ ἔστι
let-us-go-away says to-him the disciple his and where is
τόπος ὁ μὴ ἔχων γυναῖκα, εἰ μὴ ἡ ἔρημος; Λέγει οὖν
(a)-place the not having (a)-woman if not the desert says then
ὁ γέρων· Εἰς τὴν ἔρημον ἆρόν με.
the old-man into the desert take me
Πολλάκις ἔλεγεν ὁ μαθητὴς τοῦ ἀββᾶ Σισόη· Ἀββᾶ, 4
often said the disciple — of-abba Sisoes abba
ἀνάστα, φάγωμεν. Ὁ δὲ πρὸς αὐτὸν ἔλεγεν· Οὐκ
rise let-us-eat he and to him said not
ἐφάγομεν, τέκνον; Ὁ δέ· Οὐχὶ, Πάτερ. Καὶ ἔλεγεν ὁ
did-we-eat child he and no Father and said the
γέρων· Εἰ οὐκ ἐφάγομεν, φέρε, καὶ ἐσθίομεν.
old-man if not we-ate bring and we-eat
Εἶπέ ποτε ὁ ἀββᾶς Σισόης μετὰ παῤῥησίας· Θάρσει· 5
said once — abba Sisoes with boldness take-heart
ἰδοὺ τριάκοντα ἔτη ἔχω, μηκέτι δεόμενος τοῦ Θεοῦ περὶ
behold thirty years I-have no-longer beseeching — God about
ἁμαρτίας· ἀλλὰ τοῦτο εὔχομαι, λέγων· Κύριε Ἰησοῦ,
sin but this I-pray saying Lord Jesus
σκέπασόν με ἀπὸ τῆς γλώσσης μου· καὶ ἕως νῦν καθ᾽
shelter me from the tongue my and until now each
ἡμέραν πίπτω δι᾽ αὐτῆς καὶ ἁμαρτάνω.
day I-fall through it and sin

6 Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Σισόῃ· Πῶς οὐκ ἀναχωροῦσι τὰ πάθη
(a)-brother said — to-abba Sisoes how not withdraw the passions
ἀπ᾽ ἐμοῦ; Λέγει αὐτῷ ὁ γέρων· Τὰ σκεύη αὐτῶν ἔνδοθέν
from me says to-him the old-man the vessels their within
σού εἰσιν· δὸς αὐτοῖς τὸν ἀῤῥαβῶνα αὐτῶν, καὶ ὑπάγουσιν.
you are give them the pledge their and they-go

7 Ἐκάθητό ποτε ὁ ἀββᾶς Σισόης εἰς τὸ ὄρος τοῦ ἀββᾶ
sat once — abba Sisoes on the mountain — of-abba
Ἀντωνίου· καὶ χρονίσαντος τοῦ διακονητοῦ αὐτοῦ ἐλθεῖν πρὸς
Antony and having-delayed the servant his to-come to
αὐτὸν, ἕως μηνῶν δέκα οὐκ εἶδεν ἄνθρωπον. Περιπατῶν
him until months ten not he-saw (a)-man walking
δὲ ἐν τῷ ὄρει, εὑρίσκει Φαρανίτην ἀγρεύοντα ἄγρια ζῶα·
and on the mountain he-finds (a)-Pharanite hunting wild animals
καὶ λέγει αὐτῷ ὁ γέρων· Πόθεν ἔρχῃ; καὶ πόσον χρόνον
and says to-him the old-man whence do-you-come and how-much time
ἔχεις ὧδε; Ὁ δὲ ἔφη· Φύσει, ἀββᾶ, ἔχω ἕνδεκα μῆνας ἐν τῷ
have-you here he and said truly abba I-have eleven months on the
ὄρει τούτῳ, καὶ οὐκ εἶδον ἄνθρωπον εἰ μὴ σέ. Ἀκούσας
mountain this and not I-saw (a)-man if not you having-heard
δὲ ὁ γέρων ταῦτα, εἰσελθὼν εἰς τὸ κελλίον, ἔτυπτεν
and the old-man these(-things) having-gone-in into the cell he-beat
ἑαυτὸν, λέγων· Ἰδοὺ, Σισόη, ἐνόμισας τίποτε πεποιηκέναι·
himself saying behold Sisoes you-thought anything to-have-done
καὶ οὐδὲ ὡς ὁ κοσμικὸς οὗτος ἀκμὴν πεποίηκας.
and not-even as the worldling this yet you-have-done

8 Ἐγένετο προσφορὰ εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου, καὶ
there-was (an)-offering at the mountain — of-abba Antony and
εὑρέθη ἐκεῖ κνίδιον οἴνου· καὶ λαβὼν εἷς τῶν γερόντων
was-found there (a)-jar of-wine and having-taken one of-the old-men
μικρὸν ἀγγεῖον καὶ ποτήριον, ἀπήνεγκε πρὸς τὸν ἀββᾶν
(a)-small vessel and (a)-cup brought-it to — abba

Σισόην, καὶ ἔδωκεν αὐτῷ, καὶ ἔπιεν. Ὁμοίως καὶ δεύτερον,
Sisoes and gave him and he-drank likewise also (a)-second
καὶ ἐδέξατο. Παρέσχεν αὐτῷ καὶ τρίτον, καὶ οὐκ ἔλαβεν,
and he-accepted he-offered him also (a)-third and not he-took-it
εἰπών· Παῦσαι, ἀδελφὲ, ἢ οὐκ οἶδας ὅτι ἔστι Σατανᾶς;
saying stop brother or not do-you-know that there-is Satan
Παρέβαλέ τις τῶν ἀδελφῶν πρὸς τὸν ἀββᾶν Σισόην, εἰς 9
visited one of-the brothers to — abba Sisoes on
τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου· καὶ λαλούντων αὐτῶν,
the mountain — of-abba Antony and talking they
ἔλεγε τῷ ἀββᾷ Σισόῃ· Ἄρτι οὐκ ἔφθασας εἰς τὰ μέτρα
he-said — to-abba Sisoes now not have-you-reached to the measures
τοῦ ἀββᾶ Ἀντωνίου, Πάτερ; Καὶ λέγει αὐτῷ ὁ γέρων· Εἰ
— of-abba Antony Father and says to-him the old-man if
εἶχον ἕνα τῶν λογισμῶν τοῦ ἀββᾶ Ἀντωνίου, ἐγινόμην
I-had one of-the thoughts — of-abba Antony I-would-become
ὅλος ὡς πῦρ· πλὴν οἶδα ἄνθρωπον, ὅτι μετὰ καμάτου
wholly like fire yet I-know (a)-man that with labor
δύναται βαστάσαι τὸν λογισμὸν αὐτοῦ.
he-can bear the thought his
Ἦλθέ ποτέ τις τῶν Θηβαίων πρὸς τὸν ἀββᾶν Σισόην, θέλων 10
came once one of-the Thebans to — abba Sisoes wishing
γενέσθαι μοναχός. Καὶ ἠρώτησεν αὐτὸν ὁ γέρων, εἰ ἔχει
to-become (a)-monk and asked him the old-man whether he-has
τινὰ ἐν τῷ κόσμῳ. Ὁ δὲ ἔφη· Ἔχω ἕνα υἱόν. Καὶ λέγει
anyone in the world he and said I-have one son and says
αὐτῷ ὁ γέρων· Ὕπαγε, ῥίψον αὐτὸν εἰς τὸν ποταμὸν, καὶ
to-him the old-man go throw him into the river and
τότε γίνῃ μοναχός. Ὡς οὖν ἀπῆλθε ῥίψαι αὐτὸν, ἔπεμψεν
then you-become (a)-monk when then he-went-away to-throw him sent
ὁ γέρων ἀδελφὸν τοῦ κωλῦσαι αὐτόν. Λέγει ὁ ἀδελφός·
the old-man (a)-brother for-the to-hinder him says the brother

Παῦσαι, τί ποιεῖς; Ὁ δὲ εἶπεν· Ὁ ἀββᾶς μοι εἶπε ῥίψαι
stop what are-you-doing he and said the abba to-me told to-throw
αὐτόν. Λέγει οὖν ὁ ἀδελφός· Ἀλλὰ πάλιν εἶπε, μὴ ῥίψῃς
him says then the brother but again he-said not throw
αὐτόν. Καὶ καταλιπὼν αὐτὸν, ἦλθε πρὸς τὸν γέροντα·
him and having-left him he-came to the old-man
καὶ γέγονε δόκιμος μοναχὸς διὰ τὴν ὑπακοὴν αὐτοῦ.
and became (a)-proven monk because-of the obedience his

11 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Ἆρα οὕτως
(a)-brother asked — abba Sisoes saying then thus
ἐδίωκεν ὁ Σατανᾶς τοὺς ἀρχαίους; Λέγει αὐτῷ ὁ γέρων·
pursued — Satan the ancients says to-him the old-man
Ἄρτι πλέον, ὅτι ὁ καιρὸς αὐτοῦ ἤγγισε, καὶ ταράσσεται.
now more because the time his has-drawn-near and he-is-troubled

12 Ἐπειράσθη ποτὲ Ἀβραὰμ ὁ μαθητὴς τοῦ ἀββᾶ Σισόη
was-tempted once Abraham the disciple — of-abba Sisoes
ἀπὸ δαίμονος· καὶ εἶδεν ὁ γέρων ὅτι πέπτωκεν, καὶ
by (a)-demon and saw the old-man that he-had-fallen and
ἀναστὰς ἐξέτεινε τὰς χεῖρας εἰς τὸν οὐρανὸν, λέγων·
having-risen he-stretched-out the hands to the heaven saying
Θεὸς, θέλεις, οὐ θέλεις, οὐκ ἀφῶ σε, ἐὰν μὴ αὐτὸν
God you-wish not you-wish not I-will-let you unless — him
θεραπεύσῃς. Καὶ εὐθέως ἐθεραπεύθη.
you-heal and at-once he-was-healed

13 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Ὁρῶ
(a)-brother asked — abba Sisoes saying I-see
ἐμαυτὸν, ὅτι ἡ μνήμη τοῦ Θεοῦ παραμένει μοι. Λέγει
myself that the remembrance — of-God remains with-me says
αὐτῷ ὁ γέρων· Οὐκ ἔστι μέγα, τὸ εἶναι τὸν λογισμόν σου
to-him the old-man not it-is great the to-be the thought your
μετὰ τοῦ Θεοῦ· μέγα δέ ἐστι, τὸ ἑαυτὸν ὁρᾷν ὑποκάτω
with — God great but is the oneself to-see beneath

πάσης τῆς κτίσεως. Τοῦτο γὰρ καὶ ὁ σωματικὸς κόπος
all the creation this for also the bodily toil
ὁδηγεῖ εἰς τὸν τῆς ταπεινοφροσύνης τρόπον.
leads to the of-the humility way
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη, ὅτι ὅτε ἔμελλε τελευτᾶν, 14
they-said about — abba Sisoes that when he-was-about to-die
καθημένων τῶν Πατέρων πρὸς αὐτὸν ἔλαμψε τὸ πρόσωπον
sitting the Fathers by him shone the face
αὐτοῦ ὡς ὁ ἥλιος· καὶ λέγει αὐτοῖς· Ἰδοὺ ὁ ἀββᾶς Ἀντώνιος
his like the sun and he-says to-them behold — abba Antony
ἦλθε. Καὶ μετὰ μικρὸν λέγει· Ἰδοὺ ὁ χορὸς τῶν προφητῶν
has-come and after (a)-little he-says behold the choir of-the prophets
ἦλθε. Καὶ πάλιν τὸ πρόσωπον αὐτοῦ περισσῶς ἔλαμψε· καὶ
has-come and again the face his exceedingly shone and
εἶπεν· Ἰδοὺ ὁ χορὸς τῶν ἀποστόλων ἦλθε. Καὶ ἐδιπλασίασε
he-said behold the choir of-the apostles has-come and doubled
τὸ πρόσωπον αὐτοῦ πάλιν· καὶ ἰδοὺ αὐτὸς ὡς μετά
the face his again and behold he as-if with
τινων λαλῶν. Καὶ ἐδεήθησαν αὐτοῦ οἱ γέροντες, λέγοντες·
some speaking and besought him the old-men saying
Μετὰ τίνος ὁμιλεῖς, Πάτερ; Ὁ δὲ ἔφη· Ἰδοὺ ἄγγελοι
with whom do-you-converse Father he and said behold angels
ἦλθον λαβεῖν με, καὶ παρακαλῶ ἵνα ἀφεθῶ μετανοῆσαι
came to-take me and I-beseech that I-be-let to-repent
μικρόν. Καὶ λέγουσιν αὐτῷ οἱ γέροντες· Οὐ χρείαν ἔχεις
(a)-little and say to-him the old-men not need you-have
μετανοῆσαι, Πάτερ. Εἶπε δὲ αὐτοῖς ὁ γέρων· Φύσει οὐκ
to-repent Father said and to-them the old-man truly not
οἶδα ἐμαυτὸν ὅτι ἔβαλον ἀρχήν. Καὶ ἔμαθον πάντες ὅτι
I-know myself that I-made (a)-beginning and learned all that
τέλειός ἐστι. Καὶ πάλιν ἄφνω ἐγένετο τὸ πρόσωπον αὐτοῦ
perfect he-is and again suddenly became the face his

ὡς ὁ ἥλιος· καὶ ἐφοβήθησαν πάντες. Καὶ λέγει αὐτοῖς·
like the sun and feared all and he-says to-them
Βλέπετε, ὁ Κύριος ἦλθε, καὶ λέγει· Φέρετέ μοι τὸ σκεῦος
see the Lord has-come and he-says bring me the vessel
τῆς ἐρήμου. Καὶ εὐθέως παρέδωκε τὸ πνεῦμα. Καὶ ἐγένετο
of-the desert and at-once he-gave-up the spirit and there-was
ὡς ἀστραπή· καὶ ἐπλήσθη ὅλος ὁ οἶκος εὐωδίας.
as-it-were lightning and was-filled whole the house with-fragrance
15 Παρέβαλεν ὁ ἀββᾶς Ἀδέλφιος ἐπίσκοπος Νειλουπόλεως
visited — abba Adelphius bishop of-Nilopolis
πρὸς τὸν ἀββᾶν Σισόην, εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου.
to — abba Sisoes on the mountain — of-abba Antony
Καὶ ὡς ἤμελλον ἐξελθεῖν, πρὶν αὐτοὺς ὁδεῦσαι, ἐποίησεν
and when they-were-about to-go-out before they to-journey he-made
αὐτοὺς γεύσασθαι ἀπὸ πρωΐ· ἦν δὲ νηστεία. Καὶ ὡς
them to-eat from early-morning it-was and (a)-fast and when
ἔθηκαν τράπεζαν, ἰδοὺ ἀδελφοὶ κρούουσιν. Εἶπε δὲ τῷ
they-set (the)-table behold brothers knock he-said and to-the
μαθητῇ αὐτοῦ· Δὸς αὐτοῖς μικρὰν ἀθήραν, ὅτι ἀπὸ κόπου
disciple his give them (a)-little gruel for from toil
εἰσί. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀδέλφιος· Ἄφες τέως, ἵνα
they-are says to-him — abba Adelphius let(-it)-be for-now so-that
μὴ εἴπωσιν ὅτι ὁ ἀββᾶς Σισόης ἀπὸ πρωΐ ἐσθίει.
not they-say that — abba Sisoes from early-morning eats
Καὶ προσέσχεν αὐτῷ ὁ γέρων, καὶ λέγει τῷ ἀδελφῷ·
and paid-heed to-him the old-man and he-says to-the brother
Ὕπαγε, δὸς αὐτοῖς. Ὡς οὖν εἶδον τὴν ἀθήραν, εἶπον· Μὴ
go give to-them when then they-saw the gruel they-said not
ξένους ἔχετε; μὴ ἄρα καὶ ὁ γέρων μεθ' ὑμῶν ἐσθίει; Καὶ
strangers have-you not then also the old-man with you eats and
εἶπεν αὐτοῖς ὁ ἀδελφός· Ναί. Ἤρξαντο οὖν θλίβεσθαι, καὶ
said to-them the brother yes they-began then to-be-distressed and

λέγειν· Συγχωρήσῃ ὑμῖν ὁ Θεὸς, ὅτι τὸν γέροντα ἀφήκατε
to-say may-forgive you — God that the old-man you-let
φαγεῖν ἄρτι. Ἢ οὐκ οἴδατε ὅτι ἐπὶ πολλὰς ἡμέρας ἔχει
to-eat now or not do-you-know that for many days he-has
κοπιάσαι; Καὶ ἤκουσεν αὐτῶν ὁ ἐπίσκοπος, καὶ ἔβαλε
to-toil and heard them the bishop and made
μετάνοιαν τῷ γέροντι, λέγων· Συγχώρησόν μοι, ἀββᾶ,
penitence to-the old-man saying forgive me abba
ὅτι ἀνθρώπινόν τι ἐλογισάμην· σὺ δὲ τὸ τοῦ Θεοῦ
for human something I-reckoned you but the(-thing) — of-God
ἐποίησας. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Σισόης· Ἐὰν μὴ ὁ
did and says to-him — abba Sisoes unless — —
Θεὸς δοξάσῃ ἄνθρωπον, ἡ δόξα τῶν ἀνθρώπων οὐδέν ἐστιν.
God glorify (a)-man the glory of-the men nothing is
Παρέβαλόν τινες πρὸς τὸν ἀββᾶν Σισόην ἀκοῦσαι παρ' 16
visited some to — abba Sisoes to-hear from
αὐτοῦ λόγον, καὶ οὐδὲν αὐτοῖς ἐλάλησε· πάντα δὲ ἔλεγε·
him (a)-word and nothing to-them he-spoke always but he-said
Συγχωρήσατέ μοι. Ἰδόντες δὲ αὐτοῦ τὰ σπυρίδια, εἶπον
forgive me having-seen and his the little-baskets they-said
τῷ μαθητῇ αὐτοῦ Ἀβραάμ· Τί ποιεῖτε τὰ σπυρίδια
to-the disciple his Abraham what do-you-do-with the little-baskets
ταῦτα; Ὁ δὲ εἶπεν· Ὧδε κἀκεῖ ἀναλίσκομεν αὐτά.
these he and said here and-there we-spend them
Ἀκούσας δὲ ὁ γέρων, εἶπε· Καὶ Σισόης ἔνθεν κἀκεῖθεν
having-heard and the old-man said also Sisoes from-here and-from-there
ἐσθίει. Οἱ δὲ ἀκούσαντες, πάνυ ὠφελήθησαν· καὶ ἀπῆλθον
eats they and having-heard very were-benefited and went-away
μετὰ χαρᾶς, οἰκοδομηθέντες εἰς τὴν ταπείνωσιν αὐτοῦ.
with joy edified in the humility his

17 Ἠρώτησεν ὁ ἀββᾶς Ἀμμὼν ὁ τῆς Ῥαϊθοῦ τὸν ἀββᾶν
asked — abba Ammon the — of-Raithou — abba
Σισόην· Ὅταν ἀναγινώσκω Γραφὴν, θέλει ὁ λογισμός μου
Sisoes when I-read Scripture wishes the thought my
φιλοκαλῆσαι λόγον, ἵνα ἔχω εἰς ἐπερώτημα. Λέγει αὐτῷ
to-embellish (a)-word so-that I-may-have for (a)-question says to-him
ὁ γέρων· Οὐκ ἔστι χρεία· ἀλλὰ μᾶλλον ἐκ τῆς καθαρότητος
the old-man not there-is need but rather from the purity
τοῦ νοὸς κτῆσαι σεαυτῷ καὶ τὸ ἀμεριμνεῖν καὶ τὸ λέγειν.
of-the mind acquire for-yourself both the to-be-free-of-care and the to-speak
18 Παρέβαλέ ποτε κοσμικὸς ἔχων τὸν υἱὸν αὐτοῦ πρὸς τὸν
visited once (a)-worldling having the son his to —
ἀββᾶν Σισόην, εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου· καὶ
abba Sisoes on the mountain — of-abba Antony and
κατὰ τὴν ὁδὸν συνέβη ἀποθανεῖν τὸν υἱὸν αὐτοῦ· καὶ οὐκ
on the road it-happened to-die the son his and not
ἐταράχθη, ἀλλ' ἔλαβεν αὐτὸν πρὸς τὸν γέροντα πίστει,
he-was-troubled but he-took him to the old-man with-faith
καὶ προσέπεσε μετὰ τοῦ υἱοῦ ὡς μετάνοιαν ποιῶν, ὥστε
and fell-down with the son as-if penitence making so-as
εὐλογηθῆναι παρὰ τοῦ γέροντος. Καὶ ἀναστὰς ὁ πατὴρ
to-be-blessed by the old-man and having-risen the father
κατέλιπε τὸ παιδίον πρὸς τοὺς πόδας τοῦ γέροντος, καὶ
left the child at the feet of-the old-man and
ἐξῆλθεν ἔξω. Ὁ δὲ γέρων, νομίζων ὅτι μετάνοιαν αὐτῷ
went-out outside the and old-man thinking that penitence to-him
βάλλει, λέγει αὐτῷ· Ἀνάστα, ἔξελθε ἔξω· οὐ γὰρ ᾔδει ὅτι
he-makes says to-him rise go-out outside not for he-knew that
ἀπέθανε. Καὶ παραχρῆμα ἀνέστη καὶ ἐξῆλθε. Καὶ ἰδὼν
he-had-died and at-once he-rose and went-out and having-seen
αὐτὸν ὁ πατὴρ αὐτοῦ, ἐξέστη· καὶ εἰσελθὼν προσεκύνησε
him the father his was-amazed and having-gone-in made-obeisance

τῷ γέροντι, καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα. Ἀκούσας
to-the old-man and reported to-him the matter having-heard
δὲ ὁ γέρων, ἐλυπήθη· οὐ γὰρ ἤθελε τοῦτο γενέσθαι.
and the old-man was-grieved not for he-wished this to-happen
Παρήγγειλε δὲ αὐτῷ ὁ μαθητὴς αὐτοῦ, μηδενὶ εἰπεῖν,
charged and him the disciple his to-no-one to-tell
ἕως τῆς τελευτῆς τοῦ γέροντος.
until the death of-the old-man

Τρεῖς γέροντες παρέβαλον τῷ ἀββᾷ Σισόῃ, ἀκούσαντες 19
three old-men visited — to-abba Sisoes having-heard
τὰ περὶ αὐτοῦ. Καὶ λέγει αὐτῷ ὁ πρῶτος· Πάτερ,
the(-things) about him and says to-him the first Father
πῶς δύναμαι σωθῆναι ἀπὸ τοῦ πυρίνου ποταμοῦ; Ὁ δὲ
how can-I be-saved from the fiery river he and
οὐκ ἀπεκρίθη αὐτῷ. Λέγει αὐτῷ ὁ δεύτερος· Πάτερ, πῶς
not answered him says to-him the second Father how
δύναμαι σωθῆναι ἀπὸ τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ ἐκ
can-I be-saved from the gnashing of-the teeth and from
τοῦ σκώληκος τοῦ ἀκοιμήτου; Λέγει αὐτῷ ὁ τρίτος· Πάτερ,
the worm the sleepless says to-him the third Father
τί ποιήσω, ὅτι ἡ μνήμη τοῦ ἐξωτέρου σκότους φονεύει
what shall-I-do for the remembrance of-the outer darkness kills
με; Ἀποκριθεὶς δὲ ὁ γέρων εἶπεν αὐτοῖς· Ἐγὼ οὐδενὸς
me answering and the old-man said to-them I of-none
τούτων μέμνημαι· φιλεύσπλαγχνος γὰρ ὢν ὁ Θεὸς, ἐλπίζω
of-these remember compassionate for being — God I-hope
ὅτι ποιεῖ μετ' ἐμοῦ ἔλεος. Ἀκούσαντες δὲ τὸν λόγον τοῦτον
that he-does with me mercy having-heard and the word this
οἱ γέροντες ἀπῆλθον λυπούμενοι. Μὴ θέλων δὲ ὁ γέρων
the old-men went-away grieving not wishing and the old-man
ἐᾶσαι αὐτοὺς λυπουμένους ἀπελθεῖν, ὑποστρέψας αὐτοῖς
to-let them grieving to-go-away having-turned-back to-them

εἶπε· Μακάριοί ἐστε, ἀδελφοί· ἐζήλωσα γὰρ ὑμᾶς. Ὁ πρῶτος
he-said blessed are-you brothers I-envied for you the first
γὰρ ὑμῶν εἶπε περὶ τοῦ πυρίνου ποταμοῦ, καὶ ὁ δεύτερος
for of-you spoke about the fiery river and the second
περὶ τοῦ Ταρτάρου, καὶ ὁ τρίτος περὶ τοῦ σκότους. Εἰ οὖν
about — Tartarus and the third about the darkness if then
τοιαύτης μνήμης κυριεύει ὁ νοῦς ὑμῶν, ἀδύνατον ὑμᾶς
of-such remembrance is-master the mind your impossible (for)-you
ἁμαρτῆσαι. Τί δὲ ποιήσω ἐγὼ ὁ σκληροκάρδιος, μὴ
to-sin what but shall-do I the hard-hearted not
συγχωρούμενος εἰδέναι ὅτι κἂν ἐστι κόλασις τοῖς ἀνθρώποις·
being-allowed to-know that even there-is punishment for-the men
καὶ ἐκ τούτου, ἐν πάσῃ ὥρᾳ ἁμαρτάνω; Καὶ μετανοήσαντες
and from this in every hour I-sin and having-made-penitence
αὐτῷ εἶπον· Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν.
to-him they-said as we-heard thus also we-saw
20 Ἠρώτησάν τινες τὸν ἀββᾶν Σισόην, λέγοντες· Ἐὰν πέσῃ
asked some — abba Sisoes saying if fall
ἀδελφὸς, οὐ χρείαν ἔχει μετανοῆσαι ἐνιαυτόν; Ὁ δὲ εἶπε·
(a)-brother not need has-he to-repent (a)-year he and said
Σκληρόν ἐστι τὸ ῥῆμα. Οἱ δέ φασιν· Ἀλλ' ἓξ μῆνας;
hard is the word they and say but six months
Καὶ πάλιν εἶπε· Πολύ ἐστιν. Οἱ δὲ ἔφασκον· Ἕως
and again he-said much it-is they and said until
τεσσαράκοντα ἡμερῶν; Πάλιν ἔφη· Πολύ ἐστι. Λέγουσιν
forty days again he-said much it-is they-say
αὐτῷ· Τί οὖν; ἐὰν πέσῃ ἀδελφὸς, καὶ εὑρεθῇ εὐθὺς ἀγάπη
to-him what then if fall (a)-brother and be-found at-once (an)-agape
γινομένη, καὶ αὐτὸς εἰσέλθῃ εἰς τὴν ἀγάπην; Λέγει αὐτοῖς ὁ
being-held and he go-in to the agape says to-them the
γέρων· Οὐχί. Ἀλλὰ χρείαν ἔχει μετανοῆσαι ὀλίγας ἡμέρας.
old-man no but need he-has to-repent (a)-few days

Πιστεύω γὰρ τῷ Θεῷ, ὅτι ὁλοψύχως ἐὰν μετανοήσῃ ὁ
I-believe for — in-God that wholeheartedly if repent the
τοιοῦτος, καὶ εἰς τρεῖς ἡμέρας δέχεται αὐτὸν Θεός.
such(-man) even in three days receives him God

CVI · SISOES, 21–52

Sisoes answers Arians by having Abraham read them Athanasius, misses the desert's freedom of thought at Clysma, counts seventy-two years on Antony's mountain, and tells of twelve brothers who walked twelve miles astray rather than speak. He keeps a barley grain from camel dung for his brother, bids a fallen monk rise again and again, and sends off an unseen knocker by naming himself on the mountain and on the mat. Sisoes of Calamon hangs over a precipice to conquer sleep until an angel forbids it.

Ἐλθόντος ποτὲ τοῦ ἀββᾶ Σισόη εἰς τὸ Κλύσμα, παρέβαλον 21
having-come once — abba Sisoes to — Clysma visited
αὐτῷ κοσμικοὶ ἰδεῖν αὐτόν. Καὶ πολλὰ λαλησάντων
him worldlings to-see him and much having-talked
αὐτῶν, οὐκ ἀπεκρίθη αὐτοῖς λόγον. Ὕστερον δὲ εἷς
they not he-answered them (a)-word later and one
αὐτῶν εἶπε· Τί θλίβετε τὸν γέροντα; οὐκ ἐσθίει· διὰ
of-them said why do-you-trouble the old-man not he-eats because-of
τοῦτο οὐδὲ λαλεῖν δύναται. Ἀπεκρίθη ὁ γέρων· Ἐγὼ
this not-even to-speak he-can answered the old-man I
ὅτε γένηταί μοι χρεία, ἐσθίω.
when there-be to-me need I-eat
Ἠρώτησεν ὁ ἀββᾶς Ἰωσὴφ τὸν ἀββᾶν Σισόην, λέγων· 22
asked — abba Joseph — abba Sisoes saying
Διὰ πόσου χρόνου ὀφείλει ἄνθρωπος ἐκκόπτειν τὰ πάθη;
over how-much time ought (a)-man to-cut-off the passions

Λέγει αὐτῷ ὁ γέρων· Τοὺς χρόνους θέλεις μαθεῖν;
says to-him the old-man the times do-you-wish to-learn
Λέγει ὁ ἀββᾶς Ἰωσήφ· Ναί. Λέγει οὖν ὁ γέρων· Οἵαν
says — abba Joseph yes says then the old-man whatever
ὥραν ἔρχεται τὸ πάθος, εὐθέως κόψον αὐτό.
hour comes the passion at-once cut-off it

23 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην τὸν τῆς Πέτρας
(a)-brother asked — abba Sisoes the — of-Petra
περὶ πολιτείας. Καὶ λέγει αὐτῷ ὁ γέρων· Εἶπε Δανιήλ·
about way-of-life and says to-him the old-man said Daniel
Ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον.
bread of-desires not I-ate

24 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη, ὅτι καθήμενος εἰς τὸ
they-said about — abba Sisoes that sitting in the
κελλίον πάντοτε τὴν θύραν ἔκλειεν.
cell always the door he-shut

25 Ἦλθόν ποτε Ἀρειανοὶ πρὸς τὸν ἀββᾶν Σισόην εἰς τὸ
came once Arians to — abba Sisoes on the
ὄρος τοῦ ἀββᾶ Ἀντωνίου, καὶ ἤρξαντο καταλαλεῖν τῶν
mountain — of-abba Antony and began to-speak-against the
ὀρθοδόξων. Ὁ δὲ γέρων οὐκ ἀπεκρίθη αὐτοῖς οὐδέν· καὶ
orthodox the and old-man not answered them anything and
φωνήσας τὸν ἑαυτοῦ μαθητὴν, εἶπεν· Ἀβραὰμ, φέρε μοι
having-called the his-own disciple he-said Abraham bring me
τὸ βιβλίον τοῦ ἁγίου Ἀθανασίου, καὶ ἀνάγνωθι αὐτό.
the book of-the holy Athanasius and read it
Καὶ σιωπώντων αὐτῶν, ἐγνώσθη ἡ αἵρεσις αὐτῶν.
and being-silent they was-made-known the heresy their
Καὶ ἀπέλυσεν αὐτοὺς μετ' εἰρήνης.
and he-dismissed them with peace

Ἦλθέ ποτε ὁ ἀββᾶς Ἀμοῦν ἀπὸ Ῥαϊθοῦ εἰς τὸ Κλύσμα, 26
came once — abba Amoun from Raithou to — Clysma
παραβαλεῖν τῷ ἀββᾷ Σισόῃ· καὶ βλέπων αὐτὸν θλιβόμενον,
to-visit — to-abba Sisoes and seeing him distressed
ὅτι ἀφῆκε τὴν ἔρημον, λέγει αὐτῷ· Τί θλίβῃ,
because he-had-left the desert he-says to-him why are-you-distressed
ἀββᾶ; τί γὰρ ἠδύνω ἀπάρτι ποιῆσαι εἰς τὴν ἔρημον,
abba what for could-you henceforth do in the desert
οὕτως γηράσας; Ὁ δὲ γέρων προσέσχεν αὐτῷ μετὰ
so having-grown-old the and old-man looked-at him with
στυφότητος, λέγων· Τί μοι λέγεις, Ἀμοῦν; οὐκ ἤρκει γάρ
severity saying what to-me do-you-say Amoun not sufficed for
μοι ἡ ἐλευθερία μόνη τοῦ λογισμοῦ μου ἐν τῇ ἐρήμῳ,
me the freedom alone of-the thought my in the desert
Ἐκάθητό ποτε ὁ ἀββᾶς Σισόης ἐν τῷ κελλίῳ αὐτοῦ· καὶ 27
sat once — abba Sisoes in the cell his and
κρούσαντος τοῦ μαθητοῦ αὐτοῦ, ἔκραξεν ὁ γέρων, λέγων·
having-knocked the disciple his cried-out the old-man saying
Φύγε, Ἀβραὰμ, μὴ εἰσέλθῃς, ἄρτι οὐ σχολάζει τὰ ὧδε.
flee Abraham not come-in now not are-at-leisure the(-things) here
Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Πῶς 28
(a)-brother asked — abba Sisoes saying how
κατέλιπες τὴν Σκῆτιν μετὰ τοῦ ἀββᾶ Ὢρ ὤν, καὶ ἦλθες
did-you-leave — Scetis with — abba Or being and come
καὶ ἐκάθισας ὧδε; Λέγει αὐτῷ ὁ γέρων· Ἐν τῷ ἄρξασθαι
and sit here says to-him the old-man at the to-begin
πληθύνεσθαι τὴν Σκῆτιν, καὶ ἀκούσας ἐγὼ ὅτι ἐκοιμήθη
to-be-crowded — Scetis and having-heard I that had-fallen-asleep
ὁ ἀββᾶς Ἀντώνιος, ἀνέστην καὶ ἦλθον ὧδε εἰς τὸ ὄρος·
— abba Antony I-rose and came here to the mountain
καὶ εὑρὼν τὰ ὧδε ἡσυχάζοντα, μικρὸν ἐκάθισα
and having-found the(-things) here quiet (a)-little I-sat

χρόνον. Λέγει αὐτῷ ὁ ἀδελφός· Πόσον χρόνον ἔχεις
time says to-him the brother how-much time have-you
ὧδε; Λέγει αὐτῷ ὁ γέρων· Εἰσὶν ἑβδομηκονταδύο.
here says to-him the old-man they-are seventy-two

29 Εἶπεν ὁ ἀββᾶς Σισόης· Ὅταν ᾖ ἄνθρωπος τὴν φροντίδα
said — abba Sisoes when is (a)-man the care
σου ποιούμενος, οὐ δεῖ σε διατάξαι.
your making not must you to-give-orders

30 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Ἐὰν
(a)-brother asked — abba Sisoes saying if
περιπατῶμεν ἐν ὁδῷ, καὶ πλανηθῇ ὁ ὁδηγῶν ἡμᾶς,
we-walk on (a)-road and stray the(-one) guiding us
χρεία εἰπεῖν αὐτῷ; Λέγει αὐτῷ ὁ γέρων· Οὐχί. Λέγει
(is-there)-need to-tell him says to-him the old-man no says
οὖν ὁ ἀδελφός· Ἀλλ' ἀφῶμεν αὐτὸν πλανῆσαι ἡμᾶς; Λέγει
then the brother but shall-we-let him to-lead-astray us says
αὐτῷ ὁ γέρων· Τί οὖν; λαβεῖν ἔχεις ῥάβδον δεῖραι αὐτόν;
to-him the old-man what then to-take are-you (a)-stick to-beat him
Ἐγὼ οἶδα ἀδελφοὺς ὅτι περιεπάτουν, καὶ ὁ ὁδηγῶν
I know brothers that were-walking and the(-one) guiding
αὐτοὺς ἐπλανήθη τὴν νύκτα· ἦσαν δὲ δώδεκα, καὶ
them strayed in-the night there-were and twelve and
πάντες ᾔδεισαν ὅτι ἐπλανῶντο· καὶ ἠγωνίσαντο ἕκαστος
all knew that they-were-straying and strove each
τοῦ μὴ εἰπεῖν. Ἡμέρας δὲ γενομένης, μαθὼν ὁ
for-the not to-say day and having-come having-learned the(-one)
ὁδηγῶν αὐτοὺς ὅτι ἐπλανήθησαν τὴν ὁδὸν, λέγει αὐτοῖς·
guiding them that they-had-strayed-from the road he-says to-them
Συγχωρήσατέ μοι, ὅτι ἐπλανήθην. Καὶ εἶπον πάντες· Καὶ
forgive me for I-strayed and said all also
ἡμεῖς ᾔδειμεν, ἀλλ' ἐσιωπήσαμεν. Ὁ δὲ ἀκούσας ἐθαύμασε,
we knew but we-kept-silent he and having-heard marveled

λέγων, ὅτι Ἕως θανάτου ἐγκρατεύονται οἱ ἀδελφοὶ τοῦ
saying that until death are-self-controlled the brothers for-the
μὴ λαλεῖν. Καὶ ἐδόξασε τὸν Θεόν. Τὸ δὲ μῆκος τῆς
not to-speak and he-glorified — God the and length of-the
ὁδοῦ ἧς ἐπλανήθησαν, μίλια δώδεκα.
road which they-strayed miles twelve
Ἦλθόν ποτε Σαρακηνοὶ, καὶ ἐξέδυσαν τὸν γέροντα καὶ 31
came once Saracens and stripped the old-man and
τὸν ἀδελφὸν αὐτοῦ. Καὶ ἐξελθόντων αὐτῶν εἰς τὴν ἔρημον
the brother his and having-gone-out they into the desert
ἵνα εὕρωσί τι βρώσιμον, εὗρεν ὁ γέρων βόλβιτα
so-that they-might-find something edible found the old-man dung
καμήλων, καὶ κλάσας εὗρε κοκκία κριθῶν· ἔτρωγε δὲ ἓν
of-camels and having-broken(-it) found grains of-barley he-ate and one
κοκκὶν, καὶ τὸ ἓν εἰς τὴν χεῖρα αὐτοῦ ἐτίθει. Ἐλθὼν δὲ ὁ
grain and the one into the hand his he-put having-come and the
ἀδελφὸς αὐτοῦ, εὗρεν αὐτὸν ἐσθίοντα, καὶ λέγει αὐτῷ· Αὕτη
brother his found him eating and says to-him this
ἐστὶν ἡ ἀγάπη, ὅτι εὗρες βρώσιμον, καὶ μόνος ἐσθίεις, καὶ
is the love that you-found (something)-edible and alone you-eat and
οὐκ ἐφώνησάς με; Λέγει αὐτῷ ὁ ἀββᾶς Σισόης· Οὐκ ἠδίκησά
not you-called me says to-him — abba Sisoes not I-wronged
σε, ἀδελφέ· ἰδοὺ τὸ μέρος σου ἐν τῇ χειρί μου ἐτήρησα.
you brother behold the part your in the hand my I-kept
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Θηβαίου, ὅτι ἔμεινεν εἰς 32
they-said about — abba Sisoes the Theban that he-stayed at
τὸν Καλαμῶνα τοῦ Ἀρσενοΐτου· καὶ ἄλλος γέρων ἠσθένει
— Calamon of-the Arsinoite and another old-man was-ill
εἰς τὴν ἄλλην λαύραν. Καὶ ὡς ἤκουσεν, ἐθλίβη.
in the other laura and when he-heard he-was-distressed
Ἐπειδὴ δὲ δύο δύο ἐνήστευε, καὶ ἦν ἡ ἡμέρα ἐν
since and two(-days) two(-days) he-fasted and it-was the day on

ᾗ οὐκ ἤσθιε· καὶ ὅτε ἤκουσε, λέγει τῷ λογισμῷ· Τί
which not he-ate and when he-heard he-says to-the thought what
ποιήσω; ἐὰν ἀπέλθω, μήπως ἀναγκάσωσί με οἱ ἀδελφοὶ
shall-I-do if I-go-away lest compel me the brothers
φαγεῖν· καὶ ἐὰν παραμείνω εἰς τὴν αὔριον, μήποτε
to-eat and if I-stay until the morrow lest
τελευτήσῃ. Πλὴν τοῦτο ποιῶ, ὑπάγω καὶ οὐκ ἐσθίω.
he-die however this I-do I-go and not I-eat
Καὶ οὕτως ἀπῆλθε νῆστις, πληρώσας τὴν ἐντολὴν τοῦ
and thus he-went-away fasting having-fulfilled the commandment —
Θεοῦ· καὶ τὴν διὰ τὸν Θεὸν πολιτείαν αὐτοῦ οὐκ ἔλυσεν.
of-God and the for — God way-of-life his not he-broke

33 Διηγήσατό τις τῶν Πατέρων περὶ τοῦ ἀββᾶ Σισόη τοῦ
related one of-the Fathers about — abba Sisoes —
Καλαμῶνος, ὅτι θέλων ποτὲ νικῆσαι τὸν ὕπνον, ἐκρέμασεν
of-Calamon that wishing once to-conquer the sleep he-hung
ἑαυτὸν ἀπὸ τοῦ κρημνοῦ τῆς Πέτρας· καὶ ἐλθὼν ἄγγελος
himself from the precipice — of-Petra and having-come (an)-angel
ἔλυσε αὐτὸν, καὶ παρήγγειλεν αὐτὸν μηκέτι τοῦτο ποιῆσαι,
released him and charged him no-longer this to-do
μήτε ἄλλοις παραδοῦναι τὴν τοιαύτην παράδοσιν.
nor to-others to-hand-on the such tradition

34 Ἠρώτησέ τις τῶν Πατέρων τὸν ἀββᾶν Σισόην, λέγων· Ἐὰν
asked one of-the Fathers — abba Sisoes saying if
κάθημαι ἐν τῇ ἐρήμῳ, καὶ ἔλθῃ βάρβαρος, φονεῦσαί με
I-sit in the desert and come (a)-barbarian to-kill me
θέλων, καὶ δυνηθῶ πρὸς αὐτὸν, φονεύσω αὐτόν; Καὶ εἶπεν
wishing and I-be-able against him shall-I-kill him and said
ὁ γέρων· Οὐχί· ἀλλὰ παράδος αὐτὸν τῷ Θεῷ. Οἷος γὰρ ἂν
the old-man no but hand-over him — to-God whatever for —

πειρασμὸς ἔλθῃ ἀνθρώπῳ, λεγέτω, ὅτι Διὰ τὰς ἁμαρτίας
temptation come to-(a)-man let-him-say that because-of the sins
μου τοῦτο συνέβη· ἐὰν δὲ ἀγαθὸν, Οἰκονομίᾳ Θεοῦ.
my this happened if but good by-(the)-dispensation of-God
Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην τὸν Θηβαῖον, λέγων· 35
(a)-brother asked — abba Sisoes the Theban saying
Εἰπέ μοι ῥῆμα. Καὶ λέγει· Τί σοι ἔχω εἰπεῖν; ὅτι εἰς
tell me (a)-word and he-says what to-you have-I to-say for in
τὴν Καινὴν Γραφὴν ἀναγινώσκω, καὶ εἰς τὴν Παλαιὰν
the New Scripture I-read and to the Old
ἀνακάμπτω.
I-return
Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην τὸν τῆς 36
the same brother asked — abba Sisoes the —
Πέτρας, τὸ ῥῆμα ὃ εἶπεν ὁ ἀββᾶς Σισόης ὁ Θηβαῖος.
of-Petra the word which said — abba Sisoes the Theban
Καὶ λέγει ὁ γέρων· Ἐγὼ εἰς τὴν ἁμαρτίαν κοιμῶμαι,
and says the old-man I in the sin I-sleep
καὶ εἰς τὴν ἁμαρτίαν ἐγείρομαι.
and in the sin I-rise
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Θηβαίου, ὅτι ὡς 37
they-said about — abba Sisoes the Theban that when
ἀπέλυεν ἡ ἐκκλησία, ἔφευγεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ
broke-up the church he-fled to the cell his and
ἔλεγον· Δαίμονα ἔχει. Αὐτὸς δὲ τὸ ἔργον τοῦ Θεοῦ ἐποίει.
they-said (a)-demon he-has he but the work — of-God did
Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Τί ποιήσω, 38
(a)-brother asked — abba Sisoes saying what shall-I-do
ἀββᾶ, ὅτι πέπτωκα; Λέγει αὐτῷ ὁ γέρων· Ἀνάστα
abba for I-have-fallen says to-him the old-man rise
πάλιν. Λέγει ὁ ἀδελφός· Ἀνέστην, καὶ πάλιν πέπτωκα.
again says the brother I-rose and again I-have-fallen

Καὶ λέγει ὁ γέρων· Ἀνάστα πάλιν καὶ πάλιν. Εἶπεν
and says the old-man rise again and again said
οὖν ὁ ἀδελφός· Ἕως πότε; Λέγει ὁ γέρων· Ἕως ἂν
then the brother until when says the old-man until —
καταληφθῇς εἴτε ἐν τῷ ἀγαθῷ, εἴτε ἐν τῷ πτώματι·
you-be-overtaken whether in the good or in the fall
ἐν ᾧ γὰρ εὑρίσκεται ἄνθρωπος, ἐν αὐτῷ καὶ πορεύεται.
in which for is-found (a)-man in it also he-goes

39 Ἀδελφὸς ἠρώτησε γέροντα, λέγων· Τί ποιήσω; ὅτι θλίβομαι
(a)-brother asked (an)-old-man saying what shall-I-do for I-am-distressed
διὰ τὸ ἐργόχειρον. Ἀγαπῶ γὰρ τὴν σειρὰν, καὶ οὐ δύναμαι
because-of the handiwork I-love for the rope and not I-can
αὐτὴν ἐργάσασθαι. Λέγει ὁ γέρων, ὅτι ὁ ἀββᾶς Σισόης
it work says the old-man that — abba Sisoes
ἔλεγεν, ὡς οὐ χρὴ τὸ ἀναπαῦον ἡμᾶς ἔργον ἐργάζεσθαι.
said that not one-must the resting us work to-work

40 Εἶπεν ὁ ἀββᾶς Σισόης· Ζήτει τὸν Θεὸν, καὶ μὴ ζήτει
said — abba Sisoes seek — God and not seek
ποῦ κατοικεῖ.
where he-dwells

41 Εἶπε πάλιν, ὅτι αἰδὼς καὶ ἀφοβία πολλάκις φέρει τὴν
he-said again that shame and fearlessness often bring the
ἁμαρτίαν.
sin

42 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Τί ποιήσω;
(a)-brother asked — abba Sisoes saying what shall-I-do
Λέγει αὐτῷ· Τὸ πρᾶγμα ὃ ζητεῖς, τὸ σφόδρα
he-says to-him the thing which you-seek (is)-the greatly
σιωπᾷν, καὶ ταπείνωσις. Γέγραπται γάρ· Μακάριοι οἱ
to-be-silent and humility it-is-written for blessed the(-ones)
ἐμμένοντες ἐν αὐτῷ. Οὕτω δύνασαι στῆναι.
abiding in it thus you-can stand

Εἶπεν ὁ ἀββᾶς Σισόης· Γενοῦ ἐξουδενωμένος, καὶ τὸ 43
said — abba Sisoes become despised and the
θέλημά σου ὀπίσω βάλε, καὶ γενοῦ ἀμέριμνος· καὶ ἔξεις
will your behind throw and become free-of-care and you-will-have
ἀνάπαυσιν.
rest

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Τί ποιήσω 44
(a)-brother asked — abba Sisoes saying what shall-I-do
διὰ τὰ πάθη; Καὶ λέγει ὁ γέρων· Ἕκαστος ἡμῶν
about the passions and says the old-man each of-us
πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας.
is-tempted by the his-own desire

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην, λέγων· Εἰπέ μοι 45
(a)-brother asked — abba Sisoes saying tell me
ῥῆμα. Ὁ δὲ ἔφη· Τί με ἀναγκάζεις λαλῆσαι ἀργῶς; Ἰδοὺ
(a)-word he and said why me do-you-compel to-speak idly behold
ὃ βλέπεις ποίησον.
what you-see do

Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ἀβραὰμ ὁ μαθητὴς τοῦ 46
went-away once — abba Abraham the disciple —
ἀββᾶ Σισόη εἰς διακονίαν, καὶ ἐπὶ ἡμέρας οὐκ ἤθελε
of-abba Sisoes on (an)-errand and for days not be-wished
διακονηθῆναι ὑπὸ ἄλλου τινὸς, λέγων· Ἔχω ἀφεῖναι
to-be-served by other anyone saying am-I to-let
ἄνθρωπον ἄλλον ποιῆσαι συνήθειαν μετ᾽ ἐμοῦ, ἐκτὸς τοῦ
(a)-man other to-make familiarity with me besides the
ἀδελφοῦ μου; Καὶ οὐ κατεδέξατο ἕως οὗ ἦλθεν ὁ
brother my and not he-consented until which came the
μαθητὴς αὐτοῦ, ὑπομείνας τὸν κόπον.
disciple his having-endured the toil

47 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη, ὅτι καθημένου αὐτοῦ,
they-said about — abba Sisoes that sitting he
ἔκραξε μεγάλῃ τῇ φωνῇ· Ὦ ταλαιπωρία! Λέγει αὐτῷ ὁ
he-cried-out with-great the voice O wretchedness says to-him the
μαθητὴς αὐτοῦ· Τί ἔχεις, Πάτερ; Λέγει αὐτῷ ὁ γέρων·
disciple his what have-you Father says to-him the old-man
Ἕνα ἄνθρωπον ζητῶ λαλῆσαι, καὶ οὐχ εὑρίσκω.
one man I-seek to-speak(-with) and not I-find

48 Ἐξῆλθέ ποτε ὁ ἀββᾶς Σισόης ἐκ τοῦ ὄρους τοῦ ἀββᾶ
went-out once — abba Sisoes from the mountain — of-abba
Ἀντωνίου, εἰς τὸ ἐξώτερον ὄρος τῆς Θηβαΐδος, καὶ ᾤκησεν
Antony to the outer mountain — of-(the)-Thebaid and dwelt
ἐκεῖ. Ἦσαν δὲ ἐκεῖ Μελιτιανοὶ, οἰκοῦντες ἐν τῷ Καλαμῶνι
there were and there Meletians dwelling in — Calamon
τοῦ Ἀρσενοΐτου. Τινὲς δὲ ἀκούσαντες ὅτι ἐξῆλθεν εἰς
of-the Arsinoite some and having-heard that he-had-gone-out to
τὸ ἐξώτερον ὄρος, ἐπεθύμησαν αὐτὸν θεάσασθαι· ἔλεγον
the outer mountain desired him to-behold they-said
δέ· Τί ποιήσομεν; εἰς τὸ ὄρος γάρ εἰσι Μελιτιανοί.
and what shall-we-do on the mountain for are Meletians
Οἴδαμεν δὲ ὅτι ὁ γέρων οὐ βλάπτεται ἐξ αὐτῶν· ἡμεῖς
we-know but that the old-man not is-harmed by them we
δὲ μήποτε θέλοντες συντυχεῖν τῷ γέροντι, ἐμπέσωμεν εἰς
but lest wishing to-meet the old-man we-fall into
πειρασμὸν τῶν αἱρετικῶν. Καὶ ἕνεκεν τοῦ μὴ συναντῆσαι
temptation of-the heretics and for-the-sake of-the not to-meet
τοῖς αἱρετικοῖς, οὐκ ἀπῆλθον ἰδεῖν τὸν γέροντα.
the heretics not they-went-away to-see the old-man

49 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη, ὅτι ἠσθένησε· καὶ
they-said about — abba Sisoes that he-fell-ill and
καθημένων γερόντων πρὸς αὐτὸν ἐλάλησέ τισί. Λέγουσιν
sitting old-men by him he-spoke to-some they-say

αὐτῷ· Τί βλέπεις, ἀββᾶ; Καὶ λέγει αὐτοῖς· Ὁρῶ τινας
to-him what do-you-see abba and he-says to-them I-see some
ἐλθόντας ἐπ᾽ ἐμὲ, καὶ παρακαλῶ αὐτοὺς ἵνα ἐάσωσί με
having-come for me and I-beseech them that they-let me
μικρὸν μετανοῆσαι. Λέγει αὐτῷ εἷς τῶν γερόντων· Καὶ
(a)-little to-repent says to-him one of-the old-men and
ἐὰν ἐάσωσί σε, ἀπάρτι δύνασαι χρησιμεῦσαι εἰς μετάνοιαν;
if they-let you henceforth can-you be-useful for repentance
Λέγει αὐτῷ ὁ γέρων· Εἰ δὲ οὐ δύναμαι ποιῆσαι, ἀλλὰ
says to-him the old-man if and not I-can do(-it) yet
στενάζω ἐπάνω τῆς ψυχῆς μου μικρὸν, καὶ ἀρκεῖ μοι.
I-groan over the soul my (a)-little and it-suffices me
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη, ὅτι ὅτε ἦλθεν εἰς τὸ 50
they-said about — abba Sisoes that when he-came to —
Κλύσμα, ἠσθένησε· καὶ καθημένου αὐτοῦ μετὰ τοῦ μαθητοῦ
Clysma he-fell-ill and sitting he with the disciple
αὐτοῦ εἰς τὴν κέλλαν, ἰδοὺ κροῦσμα γέγονεν εἰς τὴν θύραν.
his in the cell behold (a)-knock has-come at the door
Καὶ νοήσας ὁ γέρων, λέγει τῷ μαθητῇ αὐτοῦ Ἀβραάμ·
and having-perceived the old-man he-says to-the disciple his Abraham
Εἰπὲ τῷ κρούσαντι· Ἐγὼ Σισόης εἰς τὸ ὄρος, ἐγὼ
say to-the(-one) having-knocked I (am)-Sisoes on the mountain I
Σισόης εἰς τὸ χαράδριον. Ὁ δὲ ἀκούσας ἀφανὴς ἐγένετο.
(am)-Sisoes on the mat he and having-heard invisible became
Εἶπεν ὁ ἀββᾶς Σισόης ὁ Θηβαῖος τῷ μαθητῇ αὐτοῦ· 51
said — abba Sisoes the Theban to-the disciple his
Εἰπέ μοι τί βλέπεις εἰς ἐμὲ, κἀγώ σοι λέγω τί βλέπω
tell me what you-see in me and-I to-you tell what I-see
εἰς σέ. Λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Σὺ καλὸς τῷ
in you says to-him the disciple his you (are)-good in-the

νῷ, καὶ σκληρὸς μικρόν. Λέγει αὐτῷ ὁ γέρων· Σὺ καλὸς
mind and hard (a)-little says to-him the old-man you good
εἶ, ἀλλὰ χαῦνος τῷ νῷ.
are but slack in-the mind

52 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη τοῦ Θηβαίου, ὅτι οὐκ
they-said about — abba Sisoes the Theban that not
ἤσθιεν ἄρτον. Καὶ εἰς τὴν ἑορτὴν τοῦ Πάσχα ἔβαλον
he-ate bread and at the feast of-the Pascha made
αὐτῷ μετάνοιαν οἱ ἀδελφοὶ, ἵνα φάγῃ μετ' αὐτῶν. Καὶ
to-him penitence the brothers that he-eat with them and
ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἓν ἔχω ποιῆσαι· ἢ ἄρτον
answering he-said to-them one(-thing) I-am to-do either bread
ἔχω μεταλαβεῖν, ἢ ὅσα ἐποιήσατε φαγία. Οἱ δὲ εἶπον
I-am to-partake-of or whatever you-made dishes they and said
αὐτῷ· Ἄρτον μόνον φάγε. Ὁ δὲ ἐποίησεν οὕτως.
to-him bread only eat he and did thus

CVII · SILVANUS

Silvanus keeps the fast after eating for charity, weeps at a vision of monks going to punishment and laymen to the kingdom, and stands for hours before the glory of God. He waters his garden with his face hooded, gives a brother who scorns work a book and no supper until he learns that Mary needs Martha, and leaves his cell until the brothers move back the fence they enlarged.

1 Παρέβαλέ ποτε ὁ ἀββᾶς Σιλουανὸς καὶ ὁ μαθητὴς αὐτοῦ
visited once — abba Silvanus and the disciple his
Ζαχαρίας εἰς μοναστήριον· καὶ ἐποίησαν αὐτοὺς γεύσασθαι
Zacharias at (a)-monastery and they-made them to-eat
μικρὸν πρὸ τοῦ ὁδεῦσαι. Καὶ ἐξελθόντων αὐτῶν, εὗρεν
(a)-little before the to-journey and having-gone-out they found

ὁ μαθητὴς αὐτοῦ ὕδωρ ἐν τῇ ὁδῷ, καὶ ἤθελε πιεῖν. Καὶ
the disciple his water on the road and wished to-drink and
λέγει αὐτῷ ὁ γέρων· Ζαχαρία, νηστεία σήμερον. Ὁ δὲ
says to-him the old-man Zacharias (a)-fast today he and
λέγει· Οὐκ ἐφάγομεν, Πάτερ; Λέγει ὁ γέρων· Ἐκεῖνο
says did-not we-eat Father says the old-man that
τὸ, ἐφάγομεν, τῆς ἀγάπης ἦν· ἡμεῖς δὲ τὴν ἑαυτῶν
the(-word) we-ate of-the love was we but the our-own
νηστείαν κρατήσωμεν, τέκνον.
fast let-us-keep child

Ὁ αὐτὸς καθεζόμενός ποτε μετὰ ἀδελφῶν, ἐγένετο ἐν 2
the same sitting once with brothers became in
ἐκστάσει, καὶ πίπτει ἐπὶ πρόσωπον· καὶ μετὰ πολὺ ἀναστὰς
ecstasy and falls on (his)-face and after long having-risen
ἔκλαιε. Καὶ παρεκάλεσαν αὐτὸν οἱ ἀδελφοὶ, λέγοντες· Τί
he-wept and besought him the brothers saying what
ἔχεις, Πάτερ; Ὁ δὲ ἐσιώπα καὶ ἔκλαιεν. Ἀναγκαζόντων δὲ
have-you Father he and was-silent and wept compelling and
αὐτῶν εἰπεῖν, εἶπεν· Ἐγὼ εἰς τὴν κρίσιν ἡρπάγην· καὶ
they (him)-to-speak he-said I to the judgment was-snatched and
εἶδον πολλοὺς τοῦ γένους ἡμῶν ἀπερχομένους εἰς κόλασιν,
I-saw many of-the kind our going-away into punishment
καὶ πολλοὺς τῶν κοσμικῶν ἀπερχομένους εἰς βασιλείαν.
and many of-the worldlings going-away into (the)-kingdom
Καὶ ἐπένθει ὁ γέρων, καὶ οὐκ ἤθελεν ἐξελθεῖν ἐκ τοῦ
and mourned the old-man and not he-wished to-go-out from the
κελλίου αὐτοῦ. Εἰ δὲ καὶ ἠναγκάζετο ἐξελθεῖν, ἔσκεπε
cell his if but even he-was-compelled to-go-out he-covered
τῷ κουκουλίῳ τὸ πρόσωπον αὐτοῦ, λέγων· Τί θέλω
with-the hood the face his saying why do-I-wish
ἰδεῖν τὸ φῶς τοῦτο τὸ πρόσκαιρον, καὶ οὐδὲν ἔχον ὄφελος;
to-see the light this the temporary and no having benefit

3 Ἄλλοτε εἰσῆλθεν ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας, καὶ εὗρεν
another-time went-in the disciple his Zacharias and found
αὐτὸν ἐν ἐκστάσει, καὶ αἱ χεῖρες αὐτοῦ εἰς τὸν οὐρανὸν
him in ecstasy and the hands his to the heaven
ἡπλωμέναι. Καὶ κλείσας τὴν θύραν ἐξῆλθε. Καὶ ἐλθὼν
spread-out and having-shut the door he-went-out and having-come
περὶ ὥραν ἕκτην καὶ ἐννάτην, εὗρεν αὐτὸν οὕτως. Καὶ
about (the)-hour sixth and ninth he-found him thus and
περὶ ὥραν δεκάτην ἔκρουσε· καὶ εἰσελθὼν, εὗρεν αὐτὸν
about (the)-hour tenth he-knocked and having-gone-in he-found him
ἡσυχάζοντα, καὶ λέγει αὐτῷ· Τί ἔχεις σήμερον, Πάτερ;
being-still and says to-him what have-you today Father
Ὁ δὲ εἶπεν· Ἠσθένησα σήμερον, τέκνον. Ὁ δὲ κρατήσας
he and said I-was-ill today child he and having-grasped
τοὺς πόδας αὐτοῦ, ἔλεγεν· Οὐ μή σε ἐάσω, ἐὰν μὴ
the feet his said not — you I-will-let unless —
εἴπῃς μοι τί εἶδες. Λέγει αὐτῷ ὁ γέρων· Ἐγὼ εἰς τὸν
you-tell me what you-saw says to-him the old-man I to the
οὐρανὸν ἡρπάγην, καὶ εἶδον τὴν δόξαν τοῦ Θεοῦ, καὶ
heaven was-snatched and I-saw the glory — of-God and
ἐκεῖ ἱστάμην ἕως ἄρτι, καὶ νῦν ἀπελύθην.
there I-stood until now and now I-was-released

4 Καθεζομένου ποτὲ τοῦ ἀββᾶ Σιλουανοῦ εἰς τὸ ὄρος τὸ Σινὰ,
sitting once — abba Silvanus on the mountain — Sinai
ἀπῆλθεν ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας εἰς διακονίαν, καὶ λέγει
went-away the disciple his Zacharias on (an)-errand and says
τῷ γέροντι· Ἀπόλυσον τὸ ὕδωρ, καὶ πότισον τὸν κῆπον. Ὁ
to-the old-man let-out the water and water the garden he
δὲ ἐξελθὼν ἔσκεπε τὴν ὄψιν αὐτοῦ τῷ κουκουλίῳ, καὶ
and having-gone-out covered the face his with-the hood and
μόνον τὰ ἴχνη αὐτοῦ ἔβλεπε. Παρέβαλε δὲ ἀδελφὸς αὐτῇ τῇ
only the tracks his he-saw visited and (a)-brother at-that the

ὥρᾳ· καὶ ἰδὼν αὐτὸν ἀπὸ μακρόθεν, κατενόει τί ἐποίησεν.
hour and having-seen him from far-off observed what he-did
Εἰσελθὼν δὲ ὁ ἀδελφὸς πρὸς αὐτὸν, εἶπεν· Εἰπέ μοι, ἀββᾶ,
having-gone-in and the brother to him said tell me abba
τί τὸ πρόσωπόν σου κατεσκέπασας τῷ κουκουλίῳ,
why the face your did-you-cover with-the hood
καὶ οὕτως τὸν κῆπον ἐπότιζες; Λέγει αὐτῷ ὁ γέρων·
and thus the garden were-you-watering says to-him the old-man
Τέκνον, ἵνα μὴ ἴδωσιν οἱ ὀφθαλμοί μου τὰ δένδρα, καὶ
child so-that not see the eyes my the trees and
ἀπασχοληθῇ ὁ νοῦς μου ἀπὸ τῆς ἐργασίας αὐτοῦ εἰς αὐτά.
be-distracted the mind my from the work its to them
Παρέβαλέ τις ἀδελφὸς τῷ ἀββᾷ Σιλουανῷ εἰς τὸ ὄρος 5
visited a-certain brother — to-abba Silvanus on the mountain
τὸ Σινά· καὶ ἰδὼν τοὺς ἀδελφοὺς ἐργαζομένους, εἶπε
— Sinai and having-seen the brothers working said
τῷ γέροντι· Μὴ ἐργάζεσθε τὴν βρῶσιν τὴν ἀπολλυμένην.
to-the old-man not work-for the food the perishing
Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο. Λέγει ὁ γέρων
Mary for the good part chose says the old-man
τῷ μαθητῇ αὐτοῦ· Ζαχαρία, δὸς τῷ ἀδελφῷ βιβλίον, καὶ
to-the disciple his Zacharias give the brother (a)-book and
βάλε αὐτὸν εἰς κελλίον μηδὲν ἔχον. Ὅτε οὖν ἐγένετο ἡ
put him in (a)-cell nothing having when then came the
ὥρα τῆς ἐννάτης, προσεῖχε τῇ θύρᾳ, εἰ ἄρα πέμπουσι
hour of-the ninth he-watched the door whether then they-send
καλέσαι αὐτὸν εἰς τὸ φαγεῖν. Ὡς δὲ οὐδεὶς ἐκάλεσεν αὐτὸν,
to-call him to the to-eat when but no-one called him
ἀναστὰς ἦλθε πρὸς τὸν γέροντα, καὶ λέγει αὐτῷ· Οὐκ
having-risen he-came to the old-man and says to-him did-not
ἔφαγον οἱ ἀδελφοὶ σήμερον, ἀββᾶ; Λέγει αὐτῷ ὁ γέρων·
eat the brothers today abba says to-him the old-man

Ναί. Εἶπε δέ· Διατί οὐκ ἐκαλέσατέ με; Λέγει αὐτῷ ὁ
yes he-said and why not did-you-call me says to-him the
γέρων· Ἐπειδὴ ἄνθρωπος πνευματικὸς εἶ, καὶ οὐ χρείαν
old-man since (a)-man spiritual you-are and not need
ἔχεις τῆς βρώσεως ταύτης· ἡμεῖς δὲ σαρκικοὶ ὄντες
you-have of-the food this we but fleshly being
θέλομεν φαγεῖν, καὶ διὰ τοῦτο ἐργαζόμεθα· σὺ δὲ τὴν
wish to-eat and because-of this we-work you but the
καλὴν μερίδα ἐξελέξω, ἀναγινώσκων ὅλην τὴν ἡμέραν, καὶ
good part chose reading all the day and
οὐ θέλεις φαγεῖν σαρκικὴν βρῶσιν. Καὶ ὡς ἤκουσε ταῦτα,
not you-wish to-eat fleshly food and when he-heard these(-things)
ἔβαλε μετάνοιαν, λέγων· Συγχώρησόν μοι, ἀββᾶ. Λέγει
he-made penitence saying forgive me abba says
αὐτῷ ὁ γέρων· Πάντως χρείαν ἔχει καὶ ἡ Μαρία τῆς
to-him the old-man certainly need has even — Mary —
Μάρθας· διὰ γὰρ τῆς Μάρθας καὶ ἡ Μαρία ἐγκωμιάζεται.
of-Martha through for — Martha also — Mary is-praised

6 Ἠρώτησάν ποτε τὸν ἀββᾶν Σιλουανὸν, λέγοντες· Ποίαν
they-asked once — abba Silvanus saying what
πολιτείαν εἰργάσω, Πάτερ, ἵνα λάβῃς τὴν φρόνησιν
way-of-life did-you-practice Father so-that you-might-receive the wisdom
ταύτην; Καὶ ἀπεκρίθη· Οὐδέποτε ἀφῆκα εἰς τὴν καρδίαν
this and he-answered never I-let into the heart
μου λογισμὸν παροργίζοντα τὸν Θεόν.
my (a)-thought provoking — God

7 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι ἐκάθισεν εἰς
they-said about — abba Silvanus that he-sat in
κελλίον κρυφῇ, ἔχων μικρὰ ἐρεβίνθια, καὶ ἐποίησεν εἰς
(a)-cell secretly having small chickpeas and he-made from
αὐτὰ ἔργον ἑκατὸν κόσκινα. Καὶ ἰδοὺ ἄνθρωπος ἦλθεν
them (as)-work (a)-hundred sieves and behold (a)-man came

ἀπὸ Αἰγύπτου, ἔχων ὄνον μεστὸν ἄρτων· καὶ κρούσας
from Egypt having (a)-donkey full of-loaves and having-knocked
εἰς τὸ κελλίον αὐτοῦ ἔθηκε. Λαβὼν οὖν ὁ γέρων τὰ
at the cell his he-set(-them) having-taken then the old-man the
κόσκινα, ἐγέμισε τὸν ὄνον, καὶ ἀπέλυσεν αὐτόν.
sieves he-loaded the donkey and sent-away him
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι ἐξῆλθεν ὁ μαθητὴς 8
they-said about — abba Silvanus that went-out the disciple
αὐτοῦ Ζαχαρίας χωρὶς αὐτοῦ· καὶ λαβὼν τοὺς ἀδελφοὺς,
his Zacharias without him and having-taken the brothers
ἔστρεψε τὸν φραγμὸν τοῦ κήπου, καὶ μείζονα αὐτὸν ἐποίησε.
he-moved the fence of-the garden and larger it made
Μαθὼν οὖν ὁ γέρων, ἔλαβε τὸ μηλωτάριον αὐτοῦ, καὶ
having-learned then the old-man took the little-sheepskin his and
ἐξῆλθε, καὶ λέγει τοῖς ἀδελφοῖς· Εὔξασθε περὶ ἐμοῦ. Οἱ δὲ
went-out and says to-the brothers pray for me they and
ἰδόντες αὐτὸν, ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ, λέγοντες· Εἰπὲ
having-seen him fell at the feet his saying tell
ἡμῖν τί ἐστιν ὃ ἔχεις, Πάτερ. Ὁ δὲ πρὸς αὐτοὺς ἔφη·
us what is (it)-which you-have Father he and to them said
Οὐκ εἰσέρχομαι ἔσω, οὐ καταβαίνει τὸ μηλωτάριον ἀπ' ἐμοῦ,
not I-go-in inside not comes-down the little-sheepskin from me
ἕως οὗ ἐνέγκητε τὸν φραγμὸν εἰς τὸν πρῶτον αὐτοῦ τόπον.
until which you-bring the fence to the first its place
Οἱ δὲ πάλιν ἔστρεψαν τὸν φραγμὸν, καὶ ἐποίησαν αὐτὸν ὡς
they and again moved the fence and made it as
ἦν. Καὶ οὕτως ὁ γέρων ὑπέστρεψε εἰς τὸ κελλίον αὐτοῦ.
it-was and thus the old-man returned to the cell his
Εἶπεν ὁ ἀββᾶς Σιλουανός· Ἐγὼ δοῦλός εἰμι, καὶ ὁ 9
said — abba Silvanus I (a)-slave am and the
κύριός μου εἶπέ μοι· Ἐργάζου τὸ ἔργον μου, κἀγώ σε
master my said to-me work the work my and-I you

τρέφω· πόθεν δὲ, μὴ ζήτει· εἴτε ἔχω, εἴτε κλέπτω, εἴτε
feed whence but not seek whether I-have or I-steal or
δανείζομαι, σὺ μὴ ζήτει· ἐργάζου μόνον, καὶ τρέφω σε.
I-borrow you not seek work only and I-feed you
Ἐγὼ οὖν ἐὰν ἐργάζωμαι, ἐκ τοῦ μισθοῦ μου ἐσθίω· ἐὰν
I then if I-work from the wage my I-eat if
δὲ μὴ ἐργάζωμαι, ἀγάπην ἐσθίω.
but not I-work alms I-eat

10 Εἶπε πάλιν· Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, ὃς ἔχει τὸ ὄνομα
he-said again woe to-the man that who has the name
αὐτοῦ μεῖζον τῆς ἐργασίας αὐτοῦ.
his greater than-the work his

11 Ἠρώτησεν ὁ ἀββᾶς Μωϋσῆς τὸν ἀββᾶν Σιλουανὸν,
asked — abba Moses — abba Silvanus
λέγων· Δύναται ἄνθρωπος καθ' ἡμέραν βάλλειν ἀρχήν;
saying can (a)-man each day lay (a)-beginning
Καὶ εἶπεν ὁ γέρων· Ἐάν ἐστιν ἐργάτης, δύναται καὶ
and said the old-man if he-is (a)-worker he-can even
καθ' ὥραν βάλλειν ἀρχήν.
each hour lay (a)-beginning

12 Εἶπέ τις τῶν Πατέρων, ὅτι συνέτυχέ ποτέ τις τῷ
said one of-the Fathers that met once someone —
ἀββᾷ Σιλουανῷ, καὶ ἑωρακὼς αὐτοῦ τὸ πρόσωπον καὶ
to-abba Silvanus and having-seen his the face and
τὸ σῶμα ὡς ἀγγέλου λάμψαν, ἔπεσεν ἐπὶ πρόσωπον.
the body like of-(an)-angel shining he-fell on (his)-face
Ἔλεγε δὲ καὶ ἄλλους τινὰς ἐσχηκέναι τοῦτο τὸ χάρισμα.
he-said and also others some to-have-had this the gift

Simon hides from one ruler in a palm tree, saying there is no anchorite here, and meets another at his gate eating bread and cheese, so that he turns back in contempt.

Ἦλθέ ποτε ἄρχων ἰδεῖν τὸν ἀββᾶν Σίμωνα. Ὁ δὲ ἀκούσας 1
came once (a)-ruler to-see — abba Simon he and having-heard
ἔλαβε τὴν ζώνην, καὶ ἀπῆλθεν εἰς φοίνικα καθαρίσαι
took the girdle and went-away to (a)-palm to-clean
αὐτόν. Οἱ δὲ ἐλθόντες, ἔκραξαν· Γέρον, ποῦ ἔστιν ὁ
it they and having-come cried-out old-man where is the
ἀναχωρητής; Ὁ δὲ εἶπεν· Οὐκ ἔστιν ὧδε ἀναχωρητής.
anchorite he and said not is here (an)-anchorite
Καὶ ἀκούσαντες ἀνεχώρησαν.
and having-heard they-withdrew
Ἄλλοτε πάλιν ἦλθεν ἄλλος ἄρχων ἰδεῖν αὐτόν. Καὶ 2
another-time again came another ruler to-see him and
προλαβόντες οἱ κληρικοὶ εἶπον αὐτῷ· Ἀββᾶ, ἑτοίμασον,
having-gone-ahead the clergy said to-him abba prepare(-yourself)
ὅτι ὁ ἄρχων ἀκούων περὶ σοῦ, ἔρχεται εὐλογηθῆναι παρὰ
for the ruler hearing about you comes to-be-blessed by
σοῦ. Ὁ δὲ εἶπε· Ναὶ, ἐγὼ ἑτοιμάζω ἑαυτόν. Φορέσας οὖν
you he and said yes I prepare myself having-put-on then
τὸ κεντόνιον αὐτοῦ, καὶ λαβὼν ἄρτον καὶ τυρὸν ἐν ταῖς
the patchwork his and having-taken bread and cheese in the
χερσὶν αὐτοῦ, ἀναστὰς εἰς τὸν πυλῶνα ἐκάθισεν ἐσθίων.
hands his having-risen at the gateway he-sat eating
Καὶ ἐλθὼν ὁ ἄρχων μετὰ τῆς τάξεως αὐτοῦ, καὶ
and having-come the ruler with the retinue his and

ἰδόντες αὐτὸν, ἐξουθένησαν αὐτὸν, λέγοντες· Οὗτός ἐστιν ὁ
having-seen him they-despised him saying this is the
ἀναχωρητὴς περὶ οὗ ἠκούσαμεν; Καὶ εὐθέως ἀνέκαμψαν.
anchorite about whom we-heard and at-once they-turned-back

CIX · SOPATRUS

Sopatrus bids a brother admit no woman to his cell, read no apocrypha, and leave the debate on the image, which no creature can grasp.

1 Ἠρώτησέ τις τὸν ἀββᾶν Σώπατρον, λέγων· Δός μοι
asked someone — abba Sopatrus saying give me
ἐντολὴν, ἀββᾶ, καὶ φυλάξω αὐτήν. Ὁ δὲ εἶπεν αὐτῷ·
(a)-commandment abba and I-will-keep it he and said to-him
Μὴ εἰσέλθῃ γυνὴ εἰς τὸ κελλίον σου, καὶ μὴ ἀναγνώσῃς
not let-go-in (a)-woman into the cell your and not read
ἀπόκρυφα· καὶ μὴ ἐκζητήσῃς περὶ τῆς εἰκόνος· τοῦτο γὰρ
apocrypha and not inquire about the image this for
οὐκ ἔστιν αἵρεσις, ἀλλ' ἰδιωτεία καὶ φιλονεικία ἀμφοτέρων
not is heresy but ignorance and contentiousness of-both
τῶν μερῶν· ἀδύνατον γὰρ καταληφθῆναι τὸ πρᾶγμα
the parties impossible for to-be-grasped the matter
τοῦτο ὑπὸ πάσης τῆς κτίσεως.
this by all the creation

Sarmatas prefers the sinner who knows his sin to the man who thinks himself righteous, keeps forty-day fasts until sleep obeys him, and tells a brother to eat, drink, and sleep only when he can no longer do without.

Εἶπεν ὁ ἀββᾶς Σαρματᾶς· Θέλω ἄνθρωπον ἁμαρτήσαντα, 1
said — abba Sarmatas I-want (a)-man having-sinned
εἰ οἶδεν ὅτι ἥμαρτε, καὶ μετανοεῖ, ὑπὲρ ἄνθρωπον μὴ
if he-knows that he-sinned and repents more-than (a)-man not
ἁμαρτήσοντα, καὶ ἔχοντα ἑαυτὸν ὡς δικαιοσύνην ποιοῦντα.
about-to-sin and holding himself as righteousness doing
Ἔλεγον περὶ τοῦ ἀββᾶ Σαρματᾶ, ὅτι πολλάκις ἐλάμβανε 2
they-said about — abba Sarmatas that often he-took
τεσσαράκοντα ἡμέρας τῇ βουλῇ τοῦ ἀββᾶ Ποιμένος· καὶ
forty days by-the counsel — of-abba Poemen and
ὡς οὐδὲν ἐπληροῦντο αἱ ἡμέραι ἐνώπιον αὐτοῦ. Ἦλθεν
as nothing were-completed the days before him came
οὖν ὁ ἀββᾶς Ποιμὴν πρὸς αὐτὸν, καὶ λέγει αὐτῷ· Εἰπέ
then — abba Poemen to him and says to-him tell
μοι, τί ἑώρακας ποιῶν τὸν τοσοῦτον κόπον; Ὁ δὲ πρὸς
me what have-you-seen doing the so-great toil he and to
αὐτὸν ἔλεγεν· Οὐδὲν πλέον. Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν·
him said nothing more says to-him — abba Poemen
Οὐκ ἀφῶ σε, ἐὰν μή μοι εἴπῃς. Ὁ δὲ εἶπεν· Ἕν
not I-will-let you unless — to-me you-tell he and said one(-thing)
μόνον εὗρον, ὅτι ἐὰν εἴπω τῷ ὕπνῳ, Ὕπαγε, ὑπάγει,
only I-found that if I-say to-the sleep go it-goes
καὶ ἐὰν εἴπω, Ἐλθὲ, ἔρχεται.
and if I-say come it-comes

3 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σαρματᾶν, λέγων· Οἱ
(a)-brother asked — abba Sarmatas saying the
λογισμοὶ λέγουσί μοι· Μὴ ἐργάσῃ, ἀλλὰ φάγε, πίε, κοιμῶ.
thoughts say to-me not work but eat drink sleep
Λέγει αὐτῷ ὁ γέρων· Ὅτε πεινᾷς, φάγε· ὅτε διψᾷς, πίε·
says to-him the old-man when you-hunger eat when you-thirst drink
ὅτε νυστάζεις, κοιμῶ. Ἄλλος δὲ γέρων κατ᾽ εὐκαιρίαν
when you-are-drowsy sleep another but old-man by chance
ἦλθε πρὸς τὸν ἀδελφόν· καὶ εἶπεν αὐτῷ ὁ ἀδελφὸς ἃ
came to the brother and told him the brother what
εἶπεν ὁ ἀββᾶς Σαρματᾶς. Λέγει οὖν αὐτῷ ὁ γέρων·
said — abba Sarmatas says then to-him the old-man
Τοῦτό ἐστιν ὃ εἶπέ σοι ὁ ἀββᾶς Σαρματᾶς· Ὅταν
this is what told you — abba Sarmatas when
πεινᾷς τόνῳ, καὶ διψήσῃς ἕως μηκέτι δυνηθῇς, φάγε τότε
you-hunger in-strain and you-thirst until no-longer you-can eat then
καὶ πίε· καὶ ὅταν ἀγρυπνήσῃς πάνυ πολὺ καὶ νυστάξῃς,
and drink and when you-keep-vigil very much and you-are-drowsy
κοιμῶ. Τοῦτό ἐστιν ὃ ἔλεγέ σοι γέρων.
sleep this is what told you (the)-old-man

4 Ἠρώτησε πάλιν ὁ αὐτὸς ἀδελφὸς τὸν ἀββᾶν Σαρματᾶν,
asked again the same brother — abba Sarmatas
λέγων· Οἱ λογισμοὶ λέγουσί μοι· Ὕπαγε ἔξω, καὶ
saying the thoughts say to-me go outside and
παράβαλε τοῖς ἀδελφοῖς. Καὶ λέγει ὁ γέρων· Τοῦτο μὴ
visit the brothers and says the old-man this not
ἀκούσῃς αὐτῶν, ἀλλ᾽ εἰπέ· Ἰδοὺ ἤκουσά σου τὸ πρῶτον,
listen-to them but say behold I-listened-to you the first(-time)
τοῦτο δὲ οὐ δύναμαί σου ἀκοῦσαι.
this but not I-can you listen-to

CXI · SERAPION

Serapion spends a night with a harlot reciting the whole psalter for her, until she begs to be led to God, and she ends her life walled into a cell. He reproves a brother whose window is full of books, the goods, he says, of widows and orphans, and one who calls himself a sinner but turns savage at a rebuke.

῾Ηλθέ ποτε ὁ ἀββᾶς Σεραπίων παρερχόμενος διὰ κώμης 1
came once — abba Serapion passing through village
τινὸς τῆς Αἰγύπτου· καὶ εἶδέ τινα πόρνην ἑστῶσαν εἰς
a-certain — of-Egypt and he-saw a-certain harlot standing at
τὸ κελλίον αὐτῆς· καὶ εἶπεν αὐτῇ ὁ γέρων· Προσδόκησόν
the cell her and said to-her the old-man expect
με ὀψέ· θέλω γὰρ ἐλθεῖν πρὸς σὲ, καὶ ποιῆσαι τὴν
me at-evening I-wish for to-come to you and to-spend the
νύκτα ταύτην ἔγγιστά σου. Ἡ δὲ ἀποκριθεῖσα, εἶπε·
night this near you she and answering said
Καλῶς, ἀββᾶ. Καὶ ἡτοιμάσθη, καὶ ἔστρωσε τὴν κλίνην.
well abba and she-made-ready and spread the bed
Ὀψίας δὲ γενομένης, ἦλθεν ὁ γέρων πρὸς αὐτὴν, καὶ
evening and having-come came the old-man to her and
εἰσελθὼν εἰς τὸ κελλίον, λέγει αὐτῇ· Ἡτοίμασας τὴν
having-gone-in into the cell he-says to-her have-you-made-ready the
κλίνην; Ἡ δὲ εἶπε· Ναὶ, ἀββᾶ. Καὶ ἔκλεισε τὴν θύραν,
bed she and said yes abba and he-shut the door
καὶ λέγει αὐτῇ· Μεῖνον ὀλίγον, ἐπειδὴ νόμον ἔχομεν, ἕως
and says to-her wait (a)-little since (a)-rule we-have until
οὗ ποιήσω αὐτόν. Καὶ ἤρξατο ὁ γέρων τῆς συνάξεως
which I-do it and began the old-man the synaxis
αὐτοῦ· καὶ ἀρξάμενος τὸ ψαλτήριον, κατὰ ψαλμὸν ἐποίει
his and having-begun the psalter at-each psalm he-made

εὐχὴν, δεόμενος τοῦ Θεοῦ ὑπὲρ αὐτῆς, ὅπως μετανοήσῃ
(a)-prayer beseeching — God for her that she-repent
καὶ σωθῇ. Καὶ εἰσήκουσεν αὐτοῦ ὁ Θεός. Καὶ ἔστηκεν
and be-saved and heard him — God and stood
ἡ γυνὴ τρέμουσα καὶ εὐχομένη ἐγγὺς τοῦ γέροντος. Καὶ
the woman trembling and praying near the old-man and
ὡς ἐτέλεσεν ὁ γέρων ὅλον τὸ ψαλτήριον, ἔπεσεν ἡ
when finished the old-man all the psalter fell the
γυνὴ χαμαί. Ὁ δὲ γέρων ἀρξάμενος τοῦ Ἀποστόλου,
woman on-the-ground the and old-man having-begun the Apostle
εἶπε πολὺ ἐξ αὐτοῦ· καὶ οὕτως ἐπλήρωσε τὴν σύναξιν.
said much of it and thus he-completed the synaxis
Κατανυγεῖσα οὖν ἡ γυνὴ, καὶ νοήσασα ὅτι οὐ δι᾽
pierced-to-the-heart then the woman and having-perceived that not for
ἁμαρτίαν ἦλθε πρὸς αὐτὴν, ἀλλ᾽ ἵνα σώσῃ αὐτῆς
sin he-came to her but so-that he-might-save her
τὴν ψυχὴν, προσέπεσεν αὐτῷ, λέγουσα· Ποίησον ἀγάπην,
the soul fell-before him saying do (an)-act-of-love
ἀββᾶ, καὶ ὅπου δύναμαι εὐαρεστῆσαι τῷ Θεῷ, ὁδήγησόν
abba and where I-can please — God guide
με. Τότε ὁ γέρων ὡδήγησεν αὐτὴν εἰς μοναστήριον
me then the old-man guided her to (a)-monastery
παρθένων, καὶ παρέδωκεν αὐτὴν τῇ Ἀμμᾷ, καὶ εἶπε·
of-virgins and handed-over her to-the amma and said
Λάβε τὴν ἀδελφὴν ταύτην, καὶ μὴ θήσεις αὐτῇ ζυγὸν ἢ
take the sister this and not you-will-put on-her (a)-yoke or
ἐντολὴν ὡς ταῖς ἀδελφαῖς· ἀλλ᾽ εἴ τι θέλει, δὸς
(a)-commandment as on-the sisters but if anything she-wishes give
αὐτῇ· καὶ ὡς θέλει, συγχώρησον αὐτῇ πορεύεσθαι. Καὶ ὡς
her and as she-wishes allow her to-go and when
ἐποίησεν ὀλίγας ἡμέρας, εἶπεν· Ἐγὼ ἁμαρτωλός εἰμι, θέλω
she-spent (a)-few days she-said I (a)-sinner am I-wish

διὰ δύο ἐσθίειν. Καὶ μετ᾽ ὀλίγας ἡμέρας εἶπεν· Ἐγὼ
every two(-days) to-eat and after (a)-few days she-said I
πολλὰς ἁμαρτίας ἔχω, θέλω διὰ τεσσάρων ἡμερῶν ἐσθίειν.
many sins have I-wish every four days to-eat
Καὶ μετ᾽ ὀλίγας ἡμέρας παρεκάλεσε τὴν Ἀμμᾶν, λέγουσα·
and after (a)-few days she-besought the amma saying
Ἐπειδὴ πολλὰ ἐλύπησα τὸν Θεὸν ἐν ταῖς ἀνομίαις μου,
since much I-grieved — God in the iniquities my
ποίησον ἀγάπην, καὶ βάλε με εἰς κελλίον, καὶ ἀνάφραξον
do (an)-act-of-love and put me into (a)-cell and wall-up
αὐτὸ, καὶ δι᾽ ὀπῆς δίδου μοι μικρὸν ἄρτον καὶ τὸ
it and through (an)-opening give me (a)-little bread and the
ἐργόχειρον. Καὶ ἐποίησεν αὐτῇ ἡ Ἀμμᾶς οὕτως. Καὶ
handiwork and did for-her the amma thus and
εὐηρέστησε τῷ Θεῷ τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς αὐτῆς.
she-pleased — God the remaining time of-the life her
Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σαραπίωνα, λέγων· Εἰπέ 2
(a)-brother asked — abba Serapion saying tell
μοι λόγον. Λέγει αὐτῷ ὁ γέρων· Τί σοι ἔχω εἰπεῖν;
me (a)-word says to-him the old-man what to-you have-I to-say
ὅτι ἔλαβες τὰ τῶν χηρῶν καὶ ὀρφανῶν, καὶ ἔθηκας
for you-took the(-things) of-the widows and orphans and put(-them)
εἰς τὴν θυρίδα ταύτην· εἶδε γὰρ αὐτὴν μεστὴν βιβλίων.
in the window this he-saw for it full of-books
Εἶπεν ὁ ἀββᾶς Σαραπίων, ὅτι Ὥσπερ οἱ στρατιῶται 3
said — abba Serapion that as the soldiers
τοῦ βασιλέως οὐ δύνανται ἱστάμενοι δεξιὰ ἢ ἀριστερὰ
of-the emperor not can standing right or left
προσέχειν· οὕτως καὶ ὁ ἄνθρωπος, ἐὰν ἵσταται ἐνώπιον
look thus also the man if he-stands before

τοῦ Θεοῦ, καὶ προσέχῃ ἐνώπιον αὐτοῦ ἐν φόβῳ πάσῃ
— God and attends before him in fear every
ὥρᾳ, οὐδὲν τοῦ ἐχθροῦ δύναται αὐτὸν ἐκφοβῆσαι.
hour nothing of-the enemy can him frighten

4 Παρέβαλεν ἀδελφὸς τῷ ἀββᾷ Σαραπίωνι· προετρέπετο δὲ
visited (a)-brother — to-abba Serapion urged and
αὐτὸν ὁ γέρων εὐχὴν ποιῆσαι κατὰ τὴν συνήθειαν. Ὁ
him the old-man (a)-prayer to-make according-to the custom he
δὲ ἁμαρτωλὸν ἑαυτὸν λέγων, καὶ αὐτοῦ τοῦ μοναχικοῦ
but sinful himself saying and very of-the monastic
σχήματος ἀνάξιον, οὐκ ἐπείθετο. Ἠθέλησε δὲ καὶ τοὺς
habit unworthy not was-persuaded he-wished and also the
πόδας αὐτοῦ νίψαι· καὶ τοῖς αὐτοῖς πάλιν χρώμενος λόγοις,
feet his to-wash and the same again using words
οὐκ ἠνέσχετο. Ἐποίησε δὲ αὐτὸν γεύσασθαι· ἐσθίειν δὲ
not he-allowed(-it) he-made and him to-taste to-eat and
ἤρξατο καὶ ὁ γέρων. Καὶ ἐνουθέτει αὐτὸν, λέγων· Τέκνον,
began also the old-man and he-admonished him saying child
εἰ θέλεις ὠφεληθῆναι, καρτέρησον ἐν τῷ κελλίῳ σου, καὶ
if you-wish to-be-benefited persevere in the cell your and
πρόσεχε σεαυτῷ καὶ τῷ ἐργοχείρῳ σου· οὐ γὰρ φέρει σοι
attend to-yourself and to-the handiwork your not for brings you
τὸ προέρχεσθαι τοιαύτην ὠφέλειαν, ὅσον τὸ καθέζεσθαι. Ὁ
the going-out such benefit as the sitting he
δὲ ταῦτα ἀκούσας, ἐπικράνθη, καὶ ἠλλοιώθη τῇ μορφῇ,
and these(-things) having-heard was-embittered and was-changed in-the face
ὥστε μηδὲ δυνηθῆναι λαθεῖν τὸν γέροντα. Εἶπεν οὖν αὐτῷ
so-as not-even to-be-able to-elude the old-man said then to-him
ὁ ἀββᾶς Σαραπίων· Μέχρι τοῦ νῦν ἔλεγες, Ἁμαρτωλός
— abba Serapion until the now you-said (a)-sinner
εἰμι, καὶ κατηγόρεις ἑαυτοῦ καὶ τοῦ ζῆν ἀνάξιον εἶναι· καὶ
I-am and you-accused yourself and of-the to-live unworthy to-be and

ἐπειδὴ μετὰ ἀγάπης ὑπέμνησά σε, τοσοῦτον ἐθηριώθης;
since with love I-reminded you so-much did-you-become-a-beast
Ἐὰν οὖν θέλῃς ταπεινὸς εἶναι, τὰ παρ᾽ ἄλλων
if then you-wish humble to-be the(-things) by others
ἐπαγόμενά σοι μάθε φέρειν γενναίως, καὶ μὴ ῥήματα ἀργὰ
brought-on you learn to-bear nobly and not words idle
κάτεσχε σεαυτῷ. Ταῦτα ἀκούσας ὁ ἀδελφὸς μετενόησε
hold to-yourself these(-things) having-heard the brother repented
τῷ γέροντι, καὶ πολλὰ ὠφεληθεὶς ἀνεχώρησεν.
to-the old-man and much having-been-benefited withdrew

CXII · SERINUS

Serinus tells Job that keeping one's rule in the cell is no great virtue; keeping it outside is.

Ἔλεγον περὶ τοῦ ἀββᾶ Σερίνου, ὅτι πολλὰ εἰργάζετο, καὶ 1
they-said about — abba Serinus that much he-worked and
δύο παξαμάτια ἤσθιε διαπαντός. Καὶ ἐλθὼν πρὸς αὐτὸν
two biscuits he-ate always and having-come to him
ὁ ἀββᾶς Ἰὼβ, ὁ συμφωνητὴς αὐτοῦ, καὶ αὐτὸς δὲ μέγας
— abba Job the companion his also he and (a)-great
ἀσκητὴς, εἶπεν αὐτῷ, ὅτι Εἰς τὸ κελλίον μου φυλάττω τὴν
ascetic he-said to-him that in the cell my I-keep the
πρᾶξίν μου· ἐὰν δὲ ἐξέλθω, συγκαταβαίνω τοῖς ἀδελφοῖς.
practice my if but I-go-out I-condescend to-the brothers
Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Σερῖνος· Οὐκ ἔστιν αὕτη μεγάλη
and says to-him — abba Serinus not is this (a)-great
ἀρετὴ, ὅταν ἐν τῷ κελλίῳ σου φυλάττῃς τὴν τάξιν σου,
virtue when in the cell your you-keep the order your
ἀλλ᾽ ὅταν ἐκ τοῦ κελλίου σου μᾶλλον ἐξέλθῃς.
but when from the cell your rather you-go-out

2 Εἶπεν ὁ ἀββᾶς Σερῖνος, ὅτι Ἐποίησα τὸν χρόνον μου,
said — abba Serinus that I-spent the time my
θερίζων, καταῤῥάπτων, πλέκων· καὶ ἐν τούτοις πᾶσιν, εἰ μὴ
reaping sewing plaiting and in these all if not
ἡ χεὶρ τοῦ Θεοῦ ἐχόρτασέ με, οὐκ ἠδυνήθην χορτασθῆναι.
the hand — of-God had-filled me not I-could be-filled

CXIII · SPYRIDON

Spyridon, shepherd and bishop of Trimithus, finds thieves bound at his fold by God and sends them off with a ram for their night's watch; at the tomb of his daughter Irene he calls on God, and she appears to tell where she hid a deposit.

1 Περὶ δὲ Σπυρίδωνος, τοσαύτη τῷ ποιμένι προσῆν ὁσιότης,
about and Spyridon so-great in-the shepherd was holiness
ὡς ἀξιωθῆναι αὐτὸν καὶ ἀνθρώπων ποιμένα γενέσθαι.
that to-be-deemed-worthy him also of-men shepherd to-become
Μιᾶς γὰρ τῶν ἐν Κύπρῳ πόλεων, ὀνόματι Τριμιθούντων,
of-one for of-the in Cyprus cities by-name of-Trimithus
οὗτος τὴν ἐπισκοπὴν ἐκεκλήρωτο· διὰ δὲ ἀτυφίαν
this(-man) the bishopric had-obtained because-of and humility
πολλὴν, ἐχόμενος τῆς ἐπισκοπῆς, ἐποίμαινε καὶ τὰ πρόβατα.
much holding the bishopric he-shepherded also the sheep
Μεσούσης δὲ τῆς νυκτὸς, κλέπται τῇ μάνδρᾳ τῶν
being-in-the-middle and of-the night thieves the fold of-the
προβάτων λαθραίως ἐπελθόντες, κλέψαι τῶν προβάτων
sheep secretly having-come-upon to-steal of-the sheep
ἐσπούδαζον. Ὁ δὲ Θεὸς ὁ τὸν ποιμένα σώζων, καὶ τὰ
were-eager — but God the(-one) the shepherd saving also the
πρόβατα ἔσωζεν· οἱ γὰρ κλέπται ἀοράτῳ δυνάμει παρὰ
sheep saved the for thieves by-invisible power at

τὴν μάνδραν ἐδέδεντο. Ὄρθρος δὲ ἦν· καὶ ἦκεν ὁ
the fold had-been-bound dawn and it-was and came the
ποιμὴν πρὸς τὰ πρόβατα. Ὡς δὲ εὗρεν ὀπίσω τὰς χεῖρας
shepherd to the sheep when and he-found behind the hands
ἔχοντας, ἔγνω τὸ γεγονός· καὶ εὐξάμενος λύει τοὺς
having he-knew the(-thing) having-happened and having-prayed he-looses the
κλέπτας. Πολλὰ δὲ νουθετήσας καὶ παραινέσας αὐτοῖς, ἐκ
thieves much and having-admonished and having-exhorted them from
δικαίων πόνων σπουδάζειν μᾶλλον καὶ μὴ ἐξ ἀδικίας ζῆν,
just labors to-be-eager rather and not from injustice to-live
ἕνα κριὸν αὐτοῖς χαρισάμενος ἀπέλυσεν, καὶ χαριέντως
one ram to-them having-given he-released(-them) and gracefully
ἐπιφθεγξάμενος εἶπεν· Ἵνα μὴ μάτην ἠγρυπνηκότες φανῆτε.
having-added said so-that not in-vain having-kept-watch you-appear
Ἔλεγον πάλιν, ὅτι θυγάτριον ἦν αὐτῷ παρθένος, 2
they-said again that (a)-little-daughter there-was to-him (a)-virgin
τῆς τοῦ πατρὸς εὐλαβείας μετέχουσα, τοὔνομα Εἰρήνη.
of-the of-the father piety sharing by-name Irene
Ταύτῃ γνώριμός τις πολύτιμον παρέθετο κόσμιον. Ἡ δὲ
to-her acquaintance a-certain (a)-costly entrusted ornament she and
ἀσφαλέστερον ποιοῦσα, γῇ τὴν παραθήκην ἔκρυψε·
more-safely doing(-it) in-(the)-ground the deposit hid
μετ' ὀλίγον δὲ τὸν βίον ἀπέλιπεν. Ἦλθε δὲ μετὰ χρόνον
after (a)-little and the life left came and after (a)-time
ὁ παραθέμενος· καὶ μὴ εὑρὼν τὴν παρθένον, ἔπλεκε
the(-one) having-entrusted(-it) and not having-found the virgin he-pestered
τῷ πατρὶ αὐτῆς τῷ ἀββᾷ Σπυρίδωνι, νῦν μὲν ἕλκων,
to-the father her — to-abba Spyridon now indeed dragging(-him)
πάλιν δὲ παρακαλῶν. Ἐπειδὴ δὲ συμφορὰν ἐποιεῖτο τὴν τοῦ
again but beseeching since and (a)-misfortune made the of-the
παραθεμένου ζημίαν ὁ γέρων, ἐλθὼν ἐπὶ τὸ μνημεῖον τῆς
depositor loss the old-man having-come to the tomb of-the

θυγατρὸς, ἐπεκαλεῖτο τὸν Θεὸν, πρὸ καιροῦ δεῖξαι αὐτῷ τὴν
daughter called-upon — God before (the)-time to-show him the
ἐπηγγελμένην ἀνάστασιν· καὶ δὴ τῆς ἐλπίδος οὐχ ἥμαρτε.
promised resurrection and indeed of-the hope not he-missed
Ζῶσα γὰρ αὖθις ἡ παρθένος φαίνεται τῷ πατρί· καὶ
living for again the virgin appears to-the father and
τόπον σημάνασα ἔνθα τὸ κόσμιον ἔκειτο, αὖθις ἀπεχώρει.
(the)-place having-indicated where the ornament lay again she-departed
Καὶ λαβὼν τὴν παραθήκην ὁ γέρων ἔδωκεν αὐτήν.
and having-taken the deposit the old-man gave it

CXIV · SAIO

Saio, told by Moue to plunder the brothers, does it; Moue secretly gives the goods back, and leaves Saio crushed on the road to be fetched.

1 Ἔλεγον περὶ τοῦ ἀββᾶ Σαϊὼ, καὶ τοῦ ἀββᾶ Μούη, ὅτι
they-said about — abba Saio and — abba Moue that
ἔμειναν μετ᾽ ἀλλήλων. Εἶχε δὲ πολλὴν ὑπακοὴν ὁ ἀββᾶς
they-stayed with each-other had and much obedience — abba
Σαϊὼ, σκληρὸς δὲ ἦν πάνυ. Καὶ ἔλεγεν αὐτῷ ὁ γέρων
Saio hard but he-was very and said to-him the old-man
πειράζων· Ὕπαγε, σύλησον. Καὶ ὑπῆγε, καὶ ἐσύλα τοὺς
testing(-him) go plunder and he-went and plundered the
ἀδελφοὺς διὰ τὴν ὑπακοὴν, εὐχαριστῶν τῷ Κυρίῳ ἐπὶ
brothers for the obedience giving-thanks to-the Lord over
πᾶσιν. Ὁ δὲ γέρων ἦρεν αὐτὰ, καὶ παρεῖχε κρυφίως.
all the and old-man took them and gave(-them)-back secretly
Ποτὲ οὖν ὁδευόντων αὐτῶν, ἠτόνησε, καὶ ἀφῆκεν αὐτὸν
once then journeying they he-grew-weak and left him
ὁ ἀββᾶς συντετριμμένον· καὶ ἐλθὼν, εἶπε τοῖς ἀδελφοῖς·
the abba crushed and having-come he-said to-the brothers

Ὑπάγετε, φέρετε τὸν Σαϊὼ, ὅτι κεκλασμένος κεῖται. Καὶ
go bring — Saio for broken he-lies and
ἀπελθόντες, ἤγαγον αὐτόν.
having-gone-away they-brought him

CXV · AMMA SARAH

Sarah fights the demon of fornication thirteen years without asking to be freed, and tells it that Christ, not she, has conquered it. She lives sixty years by the river without looking at it, is a woman in nature but not in thought, and, when Scetiotes eat the rotten fruit she sets before them, says that they are Scetiotes indeed.

Διηγήσαντο περὶ τῆς ἀμμᾶς Σάῤῥας, ὅτι ἔμεινε 1
they-related about — amma Sarah that she-remained
δεκατρία ἔτη πολεμουμένη κραταιῶς ὑπὸ τοῦ δαίμονος τῆς
thirteen years being-warred-on mightily by the demon of-the
πορνείας, καὶ οὐδέποτε ηὔξατο ἀποστῆναι τὸν πόλεμον,
fornication and never prayed to-depart the war
ἀλλὰ μᾶλλον ἔλεγεν· Ὁ Θεὸς, δός μοι ἰσχύν.
but rather she-said O God give me strength
Ἐπέθετο αὐτῇ ποτε σφοδρότερον τὸ αὐτὸ πνεῦμα τῆς 2
attacked her once more-violently the same spirit of-the
πορνείας, ὑποβάλλον αὐτῇ τὰ τοῦ κόσμου μάταια. Ἡ
fornication suggesting to-her the of-the world vanities she
δὲ μὴ ἐνδοῦσα τῷ τοῦ Θεοῦ φόβῳ καὶ τῇ ἀσκήσει,
but not yielding in-the — of-God fear and in-the discipline
ἀνῆλθεν ἐν μιᾷ εἰς τὸ δωμάτιον αὐτῆς προσεύξασθαι.
went-up on one(-day) to the roof-chamber her to-pray
Καὶ ὤφθη αὐτῇ σωματικῶς τὸ πνεῦμα τῆς πορνείας, καὶ
and appeared to-her bodily the spirit of-the fornication and

εἶπεν αὐτῇ· Σύ με ἐνίκησας, Σάῤῥα. Ἡ δὲ εἶπεν· Οὐκ
said to-her you me have-conquered Sarah she and said not
ἐνίκησά σε ἐγὼ, ἀλλ᾽ ὁ Δεσπότης μου Χριστός.
I-conquered you I but the Master my Christ

3 Ἔλεγον περὶ αὐτῆς, ὅτι ἐπάνω τοῦ ποταμοῦ ἔμεινεν
they-said about her that above the river she-remained
ἑξήκοντα ἔτη οἰκοῦσα, καὶ οὐ παρέκυψεν ἰδεῖν αὐτόν.
sixty years dwelling and not leaned-out to-see it

4 Ἄλλοτε ἦλθον δύο γέροντες ἀναχωρηταὶ μεγάλοι ἀπὸ
another-time came two old-men anchorites great from
τῶν μερῶν τοῦ Πηλουσίου πρὸς αὐτήν· καὶ ἀπερχόμενοι
the parts — of-Pelusium to her and going-away
ἔλεγον πρὸς ἀλλήλους· Ταπεινώσωμεν τὴν γραΐδα ταύτην.
they-said to each-other let-us-humble the old-woman this
Καὶ λέγουσιν αὐτῇ· Βλέπε μὴ ἐπαρθῇ ὁ λογισμός σου,
and they-say to-her see lest be-exalted the thought your
καὶ εἴπῃς, ὅτι Ἰδοὺ οἱ ἀναχωρηταὶ πρὸς μὲ ἔρχονται
and you-say that behold the anchorites to me come
γυναῖκα οὖσαν. Λέγει αὐτοῖς ἡ ἀμμᾶς Σάῤῥα· Τῇ μὲν
(a)-woman being says to-them — amma Sarah by-the indeed
φύσει γυνή εἰμι, ἀλλ᾽ οὐ τῷ λογισμῷ.
nature (a)-woman I-am but not by-the thought

5 Εἶπεν ἡ ἀμμᾶς Σάῤῥα· Ἐὰν εὔξωμαι τῷ Θεῷ, ἵνα
said — amma Sarah if I-pray — to-God that
πάντες οἱ ἄνθρωποι πληροφορῶνται εἰς ἐμὲ, εὑρεθήσομαι
all the men be-assured about me I-shall-be-found
εἰς τὴν θύραν ἑκάστου μετανοοῦσα· ἀλλὰ μᾶλλον εὔξομαι
at the door of-each repenting but rather I-will-pray
τὴν καρδίαν μου ἁγνὴν εἶναι μετὰ πάντων.
the heart my pure to-be with all

Εἶπε πάλιν, ὅτι Βάλλω τὸν πόδα μου ἐπὶ τὴν κλίμακα 6
she-said again that I-put the foot my on the ladder
ἀναβῆναι, καὶ τιθῶ τὸν θάνατον πρὸ ὀφθαλμῶν μου πρὸ
to-go-up and I-set the death before (the)-eyes my before
τοῦ ἀναβῆναί με εἰς αὐτήν.
the to-go-up me on it
Εἶπε πάλιν, ὅτι καλόν ἐστι καὶ δι' ἀνθρώπους ποιεῖν 7
she-said again that good it-is even for men to-do
ἐλεημοσύνην. Εἰ γὰρ καὶ δι' ἀνθρωπαρεσκίαν, ἀλλ'
almsgiving if for even because-of men-pleasing yet
ἔρχεται πάλιν εἰς Θεοῦ ἀρέσκειαν.
it-comes again into of-God pleasing
Παρέβαλόν ποτε Σκητιῶται τῇ ἀμμᾷ Σάῤῥᾳ. Ἡ δὲ 8
visited once Scetiotes — to-amma Sarah she and
παρέθηκεν αὐτοῖς κανίσκιν. Οἱ δὲ ἀφέντες τὰ καλὰ,
set-before them (a)-little-basket they and having-left the good(-things)
ἔφαγον τὰ σαπρά. Καὶ εἶπεν αὐτοῖς· Ὄντως Σκητιῶταί
ate the rotten(-ones) and she-said to-them truly Scetiotes
ἐστε.
you-are

CXVI · TITHOES

Tithoes lowers his hands quickly at prayer lest his mind be caught up, calls stranger-hood mastery of the mouth, and, musing at Clysma, forgets where he is.

Ἔλεγον περὶ τοῦ ἀββᾶ Τιθόη, ὅτι εἰ μὴ ταχέως κατέφερε 1
they-said about — abba Tithoes that if not quickly he-brought-down
τὰς χεῖρας αὐτοῦ ὅτε ἵστατο εἰς προσευχὴν, ἡρπάζετο
the hands his when he-stood in prayer was-snatched

ὁ νοῦς αὐτοῦ ἄνω. Εἰ οὖν συνέβη ἀδελφοὺς συνεύχεσθαι
the mind his up if then it-happened brothers to-pray-with
αὐτῷ, ἐσπούδαζε ταχέως καταφέρειν τὰς χεῖρας, ἵνα μὴ
him he-was-eager quickly to-bring-down the hands so-that not
ἁρπαγῇ ὁ νοῦς αὐτοῦ καὶ χρονίσῃ.
be-snatched the mind his and he-linger

2 Εἶπεν ὁ ἀββᾶς Τιθόης, ὅτι ξενητεία ἐστὶ τὸ κρατῆσαι
said — abba Tithoes that strangerhood is the to-master
ἄνθρωπον τὸ ἑαυτοῦ στόμα.
(a)-man the his-own mouth

3 Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Τιθόην, ὅτι Πῶς φυλάξω
(a)-brother asked — abba Tithoes that how shall-I-guard
τὴν καρδίαν μου; Λέγει αὐτῷ ὁ γέρων· Πῶς φυλάξομεν
the heart my says to-him the old-man how shall-we-guard
τὴν καρδίαν ἡμῶν, ἀνεῳγμένης τῆς γλώσσης ἡμῶν καὶ
the heart our opened the tongue our and
τῆς κοιλίας;
the belly

4 Ἔλεγεν ὁ ἀββᾶς Ματόης περὶ τοῦ ἀββᾶ Τιθόη, ὅτι
said — abba Matoes about — abba Tithoes that
Οὐχ εὑρίσκει ἄνθρωπος ἀνοῖξαι τὸ στόμα αὐτοῦ ἔν τινι
not finds (a)-man to-open the mouth his in any
πράγματι εἰς αὐτόν· ἀλλ᾽ ὥσπερ τὸ καθαρὸν χρυσίον
matter against him but as the pure gold
ἵσταται ἐν ζυγῷ, οὕτως καὶ ὁ ἀββᾶς Τιθόης.
stands in (the)-balance thus also — abba Tithoes

5 Καθήμενός ποτε ὁ ἀββᾶς Τιθόης εἰς τὸ Κλύσμα, νοῶν
sitting once — abba Tithoes at — Clysma musing
καὶ φρονῶν λέγει τῷ μαθητῇ αὐτοῦ· Ἀπόλυσον τὸ ὕδωρ
and thinking he-says to-the disciple his let-out the water
εἰς τοὺς φοίνικας, τέκνον. Ὁ δὲ εἶπεν· Εἰς τὸ Κλύσμα
on the palms child he and said at — Clysma

ἐσμὲν, ἀββᾶ. Λέγει ὁ γέρων· Εἰς τὸ Κλύσμα τί ποιῶ;
we-are abba says the old-man at — Clysma what do-I-do
ἆρόν με πάλιν εἰς τὸ ὄρος.
take me again to the mountain

Καθημένου ποτὲ τοῦ ἀββᾶ Τιθόη, ἦν ἀδελφὸς ἐγγὺς 6
sitting once — abba Tithoes there-was (a)-brother near
αὐτοῦ· καὶ μὴ εἰδὼς ἐστέναξε· καὶ οὐκ ἐνόησεν ὅτι ἦν
him and not knowing he-groaned and not he-noticed that there-was
ἀδελφὸς ἐγγὺς αὐτοῦ· ἦν γὰρ ἐν ἐκστάσει. Καὶ ποιήσας
(a)-brother near him he-was for in ecstasy and having-made
μετάνοιαν, ἔλεγε· Συγχώρησόν μοι, ἀδελφὲ, ὅτι οὔπω
penitence he-said forgive me brother for not-yet
γέγονα μοναχὸς, ὅτι ἐστέναξα ἔμπροσθέν σου.
I-have-become (a)-monk because I-groaned before you

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Τιθόην, λέγων· Ποία ἐστὶν 7
(a)-brother asked — abba Tithoes saying what is
ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ταπείνωσιν; Λέγει ὁ γέρων·
the road the leading to the humility says the old-man
Ἡ ὁδὸς τῆς ταπεινώσεως αὕτη ἐστὶν, ἐγκράτεια, καὶ
the road of-the humility this is self-control and
εὐχὴ, καὶ τὸ ἔχειν ἑαυτὸν ὑποκάτω πάσης τῆς κτίσεως.
prayer and the to-hold oneself beneath all the creation

Poemen foretells that a harlot who gives her wages as alms will not remain a harlot; at Timothy's word she repents and enters a monastery.

1 Ἠρώτησεν ὁ ἀββᾶς Τιμόθεος ὁ πρεσβύτερος τὸν ἀββᾶν
asked — abba Timothy the priest — abba
Ποιμένα, λέγων· Ἔστι γυνή τις ἐν Αἰγύπτῳ, ἥτις
Poemen saying there-is woman a-certain in Egypt who
πορνεύει, καὶ τὸν μισθὸν αὐτῆς διδεῖ ἐλεημοσύνην. Καὶ εἶπεν
fornicates and the wage her gives (as)-alms and said
ὁ ἀββᾶς Ποιμήν· Οὐ μενεῖ ἐν τῇ πορνείᾳ· φαίνεται γὰρ
— abba Poemen not she-will-remain in the fornication appears for
ἐν αὐτῇ καρπὸς πίστεως. Ἐγένετο δὲ ἐλθεῖν τὴν μητέρα
in her (the)-fruit of-faith it-happened and to-come the mother
τοῦ πρεσβυτέρου Τιμοθέου πρὸς αὐτόν. Καὶ ἠρώτησεν
of-the priest Timothy to him and he-asked
αὐτὴν, λέγων· Ἐκείνη ἡ γυνὴ ἔμεινε πορνεύουσα; Ἡ
her saying that the woman has-she-remained fornicating she
δὲ λέγει· Ναί· καὶ προσέθηκε τοὺς ἐραστὰς αὐτῆς· πλὴν
and says yes and she-has-added(-to) the lovers her but
καὶ εἰς τὴν ἐλεημοσύνην. Καὶ ἀνήγγειλεν ὁ ἀββᾶς Τιμόθεος
also to the almsgiving and reported — abba Timothy
τῷ ἀββᾷ Ποιμένι. Ὁ δὲ εἶπεν· Οὐ μενεῖ ἐν τῇ
— to-abba Poemen he and said not she-will-remain in the
πορνείᾳ. Ἐλθοῦσα δὲ πάλιν ἡ μήτηρ τοῦ ἀββᾶ Τιμοθέου,
fornication having-come and again the mother — of-abba Timothy
εἶπεν αὐτῷ· Οἶδας ὅτι ἡ πόρνη ἐκείνη ἐζήτει ἐλθεῖν
said to-him do-you-know that the harlot that was-seeking to-come
μετ' ἐμοῦ, ἵνα εὔξῃ ὑπὲρ αὐτῆς; Ὁ δὲ ἀκούσας
with me so-that you-might-pray for her he and having-heard

ἀνήγγειλε τῷ ἀββᾷ Ποιμένι. Λέγει αὐτῷ· Μᾶλλον σὺ
reported — to-abba Poemen he-says to-him rather you
ἄπελθε, καὶ σύντυχε αὐτῇ. Καὶ ἀπῆλθεν ὁ ἀββᾶς Τιμόθεος,
go-away and meet her and went-away — abba Timothy
καὶ συνέτυχεν αὐτῇ. Ἡ δὲ ἰδοῦσα αὐτὸν, καὶ ἀκούσασα
and met her she and having-seen him and having-heard
παρ᾽ αὐτοῦ τὸν λόγον τοῦ Θεοῦ, κατενύγη, καὶ ἔκλαυσε,
from him the word — of-God was-pierced and wept
καὶ εἶπεν αὐτῷ· Ἐγὼ ἀπὸ τῆς σήμερον προσκολλῶμαι
and said to-him I from the today cleave
τῷ Θεῷ, καὶ οὐ προσθήσω ἔτι τοῦ πορνεύειν. Καὶ
— to-God and not I-will-add any-longer for-the to-fornicate and
εὐθέως εἰσελθοῦσα εἰς μοναστήριον εὐηρέστησε τῷ Θεῷ.
at-once having-gone-in into (a)-monastery she-pleased — God

CXVIII · HYPERECHIUS

Hyperechius' sayings: the proven monk is a lion to the thoughts, fasting a bridle, slander a meal of a brother's flesh, and obedience an heirloom.

Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Ὥσπερ ὁ λέων φοβερός 1
said — abba Hyperechius as the lion fearsome
ἐστι τοῖς ὀνάγροις, οὕτως ὁ δόκιμος μοναχὸς λογισμοῖς
is to-the wild-asses thus the proven monk to-thoughts
ἐπιθυμίας.
of-desire

2 Εἶπε πάλιν· Ἡ νηστεία χαλινός ἐστι τῷ μοναχῷ μετὰ
he-said again the fasting (a)-bridle is for-the monk against
τῆς ἁμαρτίας. Ὁ ῥίπτων αὐτὴν, ἵππος θηλυμανὴς
the sin the(-one) throwing-off it (a)-horse mad-for-mares
εὑρίσκεται.
is-found

3 Εἶπε πάλιν· Ὁ μὴ κρατῶν γλώσσης αὐτοῦ ἐν καιρῷ
he-said again the(-one) not mastering (the)-tongue his in (the)-time
ὀργῆς, οὐδὲ παθῶν κρατήσει ὁ τοιοῦτος.
of-anger not-even passions will-master the such(-man)

4 Εἶπε πάλιν· Καλὸν φαγεῖν κρέα καὶ πιεῖν οἶνον, καὶ μὴ
he-said again good to-eat meat and to-drink wine and not
φαγεῖν ἐν καταλαλιαῖς σάρκας ἀδελφῶν.
to-eat in slanders (the)-flesh of-brothers

5 Εἶπε πάλιν· Ψιθυρίσας ὁ ὄφις τὴν Εὔαν τοῦ παραδείσου
he-said again having-whispered the serpent — Eve from-the paradise
ἐξέβαλε. Τούτου οὖν ὅμοιος ἔσται καὶ ὁ καταλαλῶν
cast-out of-this then like will-be also the(-one) slandering
τοῦ πλησίον· τὴν γὰρ ψυχὴν τοῦ ἀκούοντος ἀπολλύει,
the neighbor the for soul of-the(-one) listening he-destroys
καὶ τὴν ἑαυτοῦ οὐ διασώζει.
and the his-own not he-saves

6 Εἶπε πάλιν· Θησαυρός ἐστι μοναχοῦ ἡ ἑκούσιος ἀκτημοσύνη.
he-said again (a)-treasure is of-(a)-monk the voluntary poverty
Θησαύρισον, ἀδελφὲ, ἐν οὐρανῷ· ἀπέραντοι γὰρ τῆς
lay-up-treasure brother in heaven endless for of-the
ἀναπαύσεως οἱ αἰῶνες.
rest the ages

7 Εἶπε πάλιν· Ἡ ἐνθύμησίς σου διαπαντὸς ἔστω ἐν τῇ
he-said again the thought your continually let-it-be on the
βασιλείᾳ τῶν οὐρανῶν· καὶ ἐν τάχει κληρονομήσεις αὐτήν.
kingdom of-the heavens and in speed you-will-inherit it

Εἶπε πάλιν· Κειμήλιόν ἐστι τοῦ μοναχοῦ ἡ ὑπακοή. 8
he-said again (an)-heirloom is of-the monk the obedience
Ὁ κεκτημένος αὐτὴν εἰσακουσθήσεται ὑπὸ τοῦ Θεοῦ,
the(-one) having-acquired it will-be-heard by — God
καὶ μετὰ παῤῥησίας τῷ σταυρωθέντι παραστήσεται·
and with boldness to-the(-one) crucified will-stand-by
ὁ γὰρ σταυρωθεὶς Κύριος ὑπήκοος γέγονε μέχρι θανάτου.
the for crucified Lord obedient became until death

CXIX · PHOCAS

Phocas tells how James of the Cells, torn between the orthodox and the schismatics, shut himself forty days in a cell in his grave clothes until a child came and the Lord told him he was well where he was, and how James, beset by fornication, hid in a cave and was revived by the communion Phocas forced between his teeth.

Ἔλεγεν ὁ ἀββᾶς Φωκᾶς ὁ τοῦ κοινοβίου τοῦ ἀββᾶ 1
said — abba Phocas the of-the community — of-abba
Θεογνίου τοῦ πρώτου Ἱεροσολυμίτου, ὅτι Καθημένου μου
Theognius the first Jerusalemite that while-sitting me
ἐν Σκήτει, γέγονέ τις ἀββᾶς Ἰάκωβος νεώτερος ἐν
in Scetis there-was a-certain abba James younger in
τοῖς Κελλίοις, ἔχων καὶ πατέρα τὸν αὐτὸν σαρκικὸν ἅμα
the Cells having also father the same fleshly at-once
καὶ πνευματικόν. Ἔχει δὲ τὰ Κελλία ἐκκλησίας δύο·
and spiritual have and the Cells churches two
μίαν τῶν ὀρθοδόξων, ἔνθα καὶ ἐκοινώνει, καὶ μίαν τῶν
one of-the orthodox where also he-communicated and one of-the
ἀποσχιστῶν. Ἐπεὶ οὖν εἶχεν ὁ ἀββᾶς Ἰάκωβος τὴν χάριν
schismatics since then had — abba James the grace
τῆς ταπεινοφροσύνης, ἠγαπᾶτο παρὰ πάντων, καὶ τῶν
of-the humility he-was-loved by all both the

ἐκκλησιαστικῶν, καὶ τῶν ἀποσχιστῶν. Ἔλεγον οὖν αὐτῷ
churchmen and the schismatics said then to-him
οἱ ὀρθόδοξοι· Βλέπε, ἀββᾶ Ἰάκωβε, μὴ ἀπατήσωσί σε
the orthodox see abba James lest deceive you
οἱ ἀποσχίσται, καὶ ἑλκύσωσί σε εἰς τὴν κοινωνίαν αὐτῶν.
the schismatics and draw you into the communion their
Ὁμοίως δὲ καὶ οἱ ἀποσχίσται ἔλεγον αὐτῷ· Ἵνα οἶδας,
likewise and also the schismatics said to-him that you-may-know
ἀββᾶ Ἰάκωβε, ὅτι μετὰ τῶν Διφυσιτῶν κοινωνῶν, ἀπόλλεις
abba James that with the Dyophysites communicating you-destroy
τὴν ψυχήν σου· Νεστοριανοὶ γάρ εἰσι, καὶ συκοφαντοῦσι
the soul your Nestorians for they-are and they-slander
τὴν ἀλήθειαν. Ὁ δὲ ἀββᾶς Ἰάκωβος ἀκέραιος ὢν, καὶ
the truth — but abba James guileless being and
στενωθεὶς ἐκ τῶν λεγομένων αὐτῷ ἐξ ἀμφοτέρων, καὶ
straitened by the(-things) being-said to-him from both and
ἀπορηθεὶς, ἦλθεν ἐπὶ τὸ παρακαλέσαι τὸν Θεόν. Καὶ δὴ
being-at-a-loss he-came to the to-beseech — God and indeed
ἀπέκρυψεν ἑαυτὸν ἐν κελλίῳ ἔξω τῆς λαύρας ἡσυχάζοντι,
he-hid himself in (a)-cell outside the laura being-still
ἐνδυσάμενος τὰ ἐντάφια αὐτοῦ, ὡς μέλλων ἀποθνήσκειν.
having-put-on the grave-clothes his as being-about to-die
Ἔχουσι γὰρ ἔθος οἱ Αἰγύπτιοι Πατέρες, τὸν λεβίτωνα
have for (a)-custom the Egyptian Fathers the tunic
εἰς ὃν λαμβάνουσι τὸ ἅγιον σχῆμα, καὶ τὸ κουκούλιον,
in which they-receive the holy habit and the cowl
φυλάττειν ἕως θανάτου, καὶ ἐν αὐτοῖς ἐνταφιάζεσθαι,
to-keep until death and in them to-be-buried
κατὰ Κυριακὴν μόνον εἰς τὴν ἁγίαν κοινωνίαν φοροῦντες
on Lord's-day only to the holy communion wearing
αὐτὰ, καὶ εὐθέως συστέλλοντες. Ἀπελθὼν οὖν ἐν τῷ
them and at-once folding-(them)-away having-gone then into the

κελλίῳ ἐκείνῳ, παρακαλῶν τὸν Θεὸν, καὶ ἐξατονήσας
cell that beseeching — God and having-grown-faint
τῇ νηστείᾳ, ἔπεσεν εἰς τὸ ἔδαφος, καὶ ἔμεινε κείμενος.
from-the fasting he-fell to the ground and remained lying
Πολλὰ δὲ ἔλεγε πεπονθέναι ἐν ταῖς ἡμέραις ἐκείναις ὑπὸ
much and he-said to-have-suffered in the days those by
τῶν δαιμόνων, μάλιστα κατὰ διάνοιαν. Τεσσαράκοντα δὲ
the demons most-of-all in mind forty and
ἡμερῶν διελθουσῶν, ὁρᾷ παιδίον εἰσελθὸν πρὸς αὐτὸν
days having-passed he-sees (a)-child having-come-in to him
περιχαρὲς, καὶ λέγει αὐτῷ· Ἀββᾶ Ἰάκωβε, τί ποιεῖς
very-glad and it-says to-him abba James what do-you-do
ὧδε; Παραχρῆμα δὲ φωτισθεὶς, καὶ λαβὼν δύναμιν ἐκ
here at-once and enlightened and having-taken strength from
τῆς αὐτοῦ θέας, εἶπεν αὐτῷ· Δέσποτα, σὺ γινώσκεις τί
the of-him sight he-said to-him Master you know what
ἔχω. Ἐκεῖνοι λέγουσί μοι, Μὴ ἀφῇς τὴν Ἐκκλησίαν· καὶ
I-have those say to-me do-not leave the Church and
οἱ ἄλλοι λέγουσί μοι, Πλανῶσί σε οἱ Διφυσῖται· κἀγὼ
the others say to-me lead-astray you the Dyophysites and-I
ἀπορούμενος, καὶ μὴ εἰδὼς τί δράσω, ἦλθον εἰς τὸ πρᾶγμα
being-at-a-loss and not knowing what I-should-do came to the thing
τοῦτο. Ἀποκρίνεται αὐτῷ ὁ Κύριος· Ὅπου εἶ, καλῶς
this answers him the Lord where you-are well
εἶ. Καὶ εὐθέως σὺν τῷ λόγῳ, εὑρέθη πρὸ τῶν θυρῶν
you-are and at-once with the word he-was-found before the doors
τῆς ἁγίας Ἐκκλησίας τῶν ὀρθοδόξων τῶν συνοδικῶν.
of-the holy Church of-the orthodox of-the synodal
Εἶπε πάλιν ὁ ἀββᾶς Φωκᾶς, ὅτι Μετελθὼν εἰς Σκῆτιν ὁ 2
said again — abba Phocas that having-moved to Scetis —
ἀββᾶς Ἰάκωβος, ἐπολεμήθη κραταίως ὑπὸ τοῦ δαίμονος
abba James was-warred-on mightily by the demon

τῆς πορνείας· καὶ ἐγγὺς ὢν τοῦ κινδυνεῦσαι, ἦλθε πρὸς
of-the fornication and near being — to-be-in-danger he-came to
μὲ, καὶ ἀνέθετο τὰ καθ' ἑαυτὸν, καὶ λέγει μοι· Εἰς
me and laid-before(-me) the(-things) about himself and says to-me into
τόδε τὸ σπήλαιον ἀπέρχομαι ἀπὸ τῆς δευτέρας· παρακαλῶ
this the cave I-go-away from the second(-day) I-beseech
δέ σε διὰ τὸν Κύριον, μηδενὶ εἰπεῖν, μηδὲ τῷ πατρί μου·
and you for the Lord to-no-one to-tell not-even to-the father my
ἀλλὰ μέτρησον τεσσαράκοντα ἡμέρας, καὶ ὅταν πληρωθῶσι,
but count forty days and when they-are-fulfilled
ποίησον ἀγάπην, καὶ δεῦρο πρὸς μὲ βαστάζων τὴν ἁγίαν
do (an)-act-of-love and come to me carrying the holy
κοινωνίαν. Καὶ εἰ μὲν εὕρῃς με θανόντα, θάψον με· εἰ δὲ
communion and if indeed you-find me dead bury me if but
ἔτι ζῶντα, ἵνα μεταλάβω τῆς ἁγίας κοινωνίας. Ταῦτα οὖν
still living that I-may-partake of-the holy communion these(-things) then
ἀκούσας ἐγὼ παρ' αὐτοῦ, πληρωθείσης τῆς τεσσαρακοστῆς,
having-heard I from him having-been-fulfilled the fortieth(-day)
λαβὼν τὴν ἁγίαν κοινωνίαν, καὶ ἄρτον κοινὸν καθαρὸν
having-taken the holy communion and bread common clean
μετὰ ὀλίγου οἴνου, ἀπῆλθον πρὸς αὐτόν· καὶ ὡς μόνον
with (a)-little wine went-away to him and as only
ἐπλησίασα τῷ σπηλαίῳ, δυσωδίας πολλῆς ὠσφράνθην,
I-approached the cave stench much I-smelled
ἥτις ἐγένετο ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ εἶπον ἐν
which came from the mouth his and I-said in
ἑαυτῷ, ὅτι Ἀνεπάη ὁ μακάριος. Εἰσελθὼν δὲ πρὸς
myself that has-gone-to-rest the blessed(-one) having-gone-in and to
αὐτὸν, εὗρον αὐτὸν ἡμιθανῆ. Καὶ ὡς εἶδέ με, κινήσας
him I-found him half-dead and as he-saw me having-moved
τὴν δεξιὰν χεῖρα ὀλίγον, ὅσον ἠδύνατο, ἐσήμανε διὰ
the right hand (a)-little as-much-as he-could he-signaled through

τοῦ σχήματος τῆς χειρὸς περὶ τῆς ἁγίας κοινωνίας. Ἐγὼ
the gesture of-the hand about the holy communion I
δὲ εἶπον· Ἔχω. Ἠθέλησα οὖν ἀνοῖξαι τὸ στόμα αὐτοῦ,
and said I-have(-it) I-wanted then to-open the mouth his
καὶ εὑρέθη σφηνωθέν· καὶ ἀπορῶν τί ποιῆσαι, ἐξῆλθον
and it-was-found wedged-shut and being-at-a-loss what to-do I-went-out
εἰς τὴν ἔρημον, καὶ εὗρον ξυλάριον ἀπὸ θάμνου· καὶ
into the desert and found (a)-little-stick from (a)-bush and
πολλὰ κοπιάσας, μόλις ἠδυνήθην ἀνοῖξαι τὸ στόμα αὐτοῦ
much having-toiled scarcely I-was-able to-open the mouth his
μικρόν. Καὶ ἐνέχεα τοῦ τιμίου σώματος καὶ αἵματος,
(a)-little and I-poured-in of-the precious body and blood
ὅσον ἐνδέχεται καταλεπτύνας αὐτό. Καὶ ἔλαβε δύναμιν
as-much-as it-admits having-crumbled it and he-took strength
ἐκ τῆς μεταλήψεως τῆς ἁγίας κοινωνίας. Καὶ μετ' ὀλίγον
from the partaking of-the holy communion and after (a)-little
βρέξας ὀλίγα ψιχία ἐκ τοῦ κοινοῦ ἄρτου, προσήνεγκα
having-soaked (a)-few crumbs from the common bread I-offered(-them)
αὐτῷ· καὶ μετ' ὀλίγον πάλιν ἄλλα, καθ' ὃ ἠδύνατο
to-him and after (a)-little again others according-to what he-could
λαβεῖν. Καὶ οὕτως διὰ τῆς χάριτος τοῦ Θεοῦ μετὰ μίαν
take and thus through the grace — of-God after one
ἡμέραν σὺν ἐμοὶ ἦλθεν, ὁδεύων ἐπὶ τὸ ἴδιον κελλίον,
day with me he-came journeying to the own cell
ἀπαλλαγεὶς σὺν Θεῷ τοῦ ὀλεθρίου πάθους τῆς πορνείας.
delivered with God from-the deadly passion of-the fornication

Felix tells visitors that God has taken the word from the old men, since those who ask no longer do what they hear.

1 Παρέβαλον ἀδελφοὶ πρὸς τὸν ἀββᾶν Φίλικα, ἔχοντες μεθ'
came brothers to — abba Felix having with
ἑαυτῶν κοσμικούς· καὶ παρεκάλεσαν αὐτὸν, ἵνα εἴπῃ αὐτοῖς
themselves worldly(-men) and they-besought him that he-say to-them
λόγον. Ὁ δὲ γέρων ἐσιώπα. Ἐπὶ πολὺ δὲ παρακαλούντων
(a)-word the but old-man was-silent for long and beseeching
αὐτῶν, εἶπεν αὐτοῖς· Λόγον θέλετε ἀκοῦσαι; Λέγουσιν
them he-said to-them (a)-word do-you-want to-hear they-say
αὐτῷ· Ναὶ, ἀββᾶ. Εἶπεν οὖν ὁ γέρων· Ἄρτι οὐκ ἔνι
to-him yes abba said then the old-man now not there-is
λόγος. Ὅτε ἠρώτων οἱ ἀδελφοὶ τοὺς γέροντας, καὶ
(a)-word when asked the brothers the old-men and
ἐποίουν ἃ ἔλεγον αὐτοῖς, ὁ Θεὸς ἐπεχορήγει τὸ πῶς
did what they-said to-them — God supplied the how
λαλῆσαι. Νῦν δὲ, ἐπειδὴ ἐρωτῶσι μὲν, οὐ ποιοῦσι δὲ
to-speak now but since they-ask indeed not they-do but
ἃ ἀκούουσιν, ἦρεν ὁ Θεὸς τὴν χάριν τοῦ λόγου ἀπὸ
what they-hear took-away — God the grace of-the word from
τῶν γερόντων· καὶ οὐχ εὑρίσκουσι τί λαλῆσαι, ἐπειδὴ
the old-men and not they-find what to-speak since
οὐκ ἔστιν ὁ ἐργαζόμενος. Καὶ ἀκούσαντες οἱ ἀδελφοὶ
not there-is the(-one) working and having-heard the brothers
ταῦτα, ἐστέναξαν, λέγοντες· Εὖξαι ὑπὲρ ἡμῶν, ἀββᾶ.
these(-things) they-groaned saying pray for us abba

CXXI · PHILAGRIUS

Philagrius waits in the market for the owner of the purse he found, returns it, and flees the city to escape the praise.

Φιλάγριος ἦν τις τῶν ἁγίων λεγόμενος, οἰκῶν δὲ ἐν τῇ 1
Philagrius there-was one of-the saints called dwelling and in the
ἐρήμῳ Ἱεροσολύμων, καὶ ἐργαζόμενος κόπῳ ἵνα ποιήσῃ
desert of-Jerusalem and working with-toil that he-might-make
τὸν ἴδιον ἄρτον. Καὶ ὡς ἵστατο ἐν τῇ ἀγορᾷ πωλῶν τὸ
the own bread and as he-stood in the market selling the
ἐργόχειρον αὐτοῦ, ἰδοὺ ἐξαφίει τις βαλάντιον χιλίων
handiwork his behold lets-fall someone (a)-purse of-(a)-thousand
νομισμάτων· καὶ εὑρὼν αὐτὸ ὁ γέρων ἔστη ἐπὶ τοῦ τόπου,
coins and having-found it the old-man stood on the place
λέγων· Δεῖ τὸν ἀπολέσαντα ἐλθεῖν· καὶ ἰδοὺ ἔρχεται
saying must the(-one) having-lost(-it) come and behold he-comes
κλαίων. Καὶ λαβὼν αὐτὸν κατ᾽ ἰδίαν ὁ γέρων ἔδωκεν
weeping and having-taken him in private the old-man gave(-it)
αὐτῷ. Καὶ ἐκράτει αὐτὸν ἐκεῖνος, θέλων αὐτῷ παρασχεῖν
to-him and held him that(-man) wanting to-him to-give
μέρος τι. Καὶ ὁ γέρων οὐκ ἠθέλησεν. Καὶ ἔβαλε κράζειν·
part some and the old-man not wished and he-began to-cry-out
Δεῦτε, ἴδετε ἄνθρωπον τοῦ Θεοῦ, τί ἐποίησεν. Ὁ δὲ γέρων
come see (a)-man — of-God what he-did the but old-man
λάθρα φυγὼν ἐξῆλθεν ἐκ τῆς πόλεως, ἵνα μὴ δοξασθῇ.
secretly having-fled went-out from the city that not he-be-glorified

Phortas, bedridden, takes nothing not offered for God's sake, since such a gift brings the giver no reward.

1 Εἶπεν ὁ ἀββᾶς Φορτᾶς· Εἰ θέλει με ὁ Θεὸς ζῆν, οἶδεν
said — abba Phortas if wills me — God to-live he-knows
πῶς οἰκονομήσει με· εἰ δὲ οὐ θέλει, ἵνα τί μοι τὸ ζῆν;
how he-will-provide-for me if but not he-wills for what to-me the to-live
Οὐ γὰρ παρὰ πάντων ἐδέχετό τι, καίτοι κλινήρης ὤν·
not for from all he-received anything although bedridden being
ἔλεγε γάρ· Ἐὰν προσφέρῃ μοί τίς τί ποτε, καὶ οὐχὶ
he-said for if offers to-me someone anything ever and not
διὰ τὸν Θεὸν, οὔτε ἐγὼ ἔχω τι δοῦναι αὐτῷ, οὔτε
for — God neither I have anything to-give him nor
παρὰ τοῦ Θεοῦ λαμβάνει μισθόν· οὐ γὰρ διὰ τὸν Θεὸν
from — God he-receives (a)-reward not for for — God
προσήνεγκε· καὶ ἀδικεῖται ὁ προσενέγκας. Δεῖ γὰρ
he-offered(-it) and is-wronged the(-one) having-offered must for
τοὺς ἀνακειμένους τῷ Θεῷ, καὶ πρὸς αὐτὸν βλέποντας
the(-ones) dedicated — to-God and to him looking
μόνον, οὕτως εὐλαβῶς διακεῖσθαι, ὡς μήτε ὕβριν τινὰ
only so reverently to-be-disposed as neither insult any
ἡγεῖσθαι, κἂν μυριάκις ἀδικούμενοι τύχοιεν.
to-consider even-if ten-thousand-times being-wronged they-should-happen

CXXIII · CHOMAI

Chomai, dying, tells his sons to keep away from heretics and rulers and to hold out their hands to give, not to gather.

Ἔλεγον περὶ τοῦ ἀββᾶ Χομαὶ, ὅτι μέλλων τελευτᾷν εἶπε 1
they-said about — abba Chomai that being-about to-die he-said
τοῖς υἱοῖς αὐτοῦ· Μὴ οἰκήσητε μετὰ αἱρετικῶν, μηδὲ
to-the sons his do-not dwell with heretics nor
σχῆτε γνῶσιν μετὰ ἀρχόντων, μηδὲ ἔστωσαν αἱ χεῖρες
have acquaintance with rulers nor let-be the hands
ὑμῶν ἡπλωμέναι εἰς τὸ συνάγειν, ἀλλ᾽ ἔστωσαν μᾶλλον
your stretched-out for the to-gather but let-them-be rather
ἡπλωμέναι εἰς τὸ διδόναι.
stretched-out for the to-give

CXXIV · CHAEREMON

Chaeremon lives forty miles from the church and twelve from water, and carries his work and two flasks to his cave.

Ἔλεγον περὶ τοῦ ἀββᾶ Χαιρέμωνος εἰς Σκῆτιν, ὅτι ἀπεῖχε 1
they-said about — abba Chaeremon in Scetis that was-distant
τὸ σπήλαιον αὐτοῦ ἀπὸ τῆς ἐκκλησίας μίλια τεσσαράκοντα,
the cave his from the church miles forty
ἀπὸ δὲ τοῦ ἕλους καὶ τοῦ ὕδατος μίλια δώδεκα· καὶ οὕτως
from and the marsh and the water miles twelve and thus
εἰσέφερε τὸ ἐργόχειρον αὐτοῦ εἰς τὸ σπήλαιον αὐτοῦ, καὶ δύο
he-brought-in the handiwork his into the cave his and two
λαγύνια ἓν παρ᾽ ἓν βαστάζων, καὶ ἐκαθέζετο, καὶ ἡσύχαζεν.
flasks one beside one carrying and he-sat and kept-quiet

Psenthaisius, Surus, and Psoius learn from Pachomius, born of pagan parents, that holiness is not given at birth, and resolve to live and die with him.

1 Εἶπεν ὁ ἀββᾶς Ψενθαΐσιος καὶ ὁ ἀββᾶς Σοῦρος καὶ Ψώϊος,
said — abba Psenthaisius and — abba Surus and Psoius
ὅτι Ἀκούοντες τῶν λόγων τοῦ Πατρὸς ἡμῶν τοῦ ἀββᾶ
that hearing the words of-the Father our — of-abba
Παχωμίου μεγάλως ὠφελούμεθα, εἰς ζῆλον ἀγαθῶν ἔργων
Pachomius greatly we-are-profited to zeal of-good works
διεγειρόμενοι. Ὁρῶντες δὲ αὐτοῦ καὶ σιωπῶντος τὴν πρᾶξιν
being-roused seeing and of-him even being-silent the conduct
λόγον οὖσαν, ἐθαυμάζομεν, πρὸς ἀλλήλους λέγοντες, ὅτι
(a)-word being we-marveled to each-other saying that
Ἐνομίζομεν πάντας τοὺς ἁγίους οὕτως πεποιεῖσθαι ὑπὸ τοῦ
we-thought all the saints thus to-have-been-made by —
Θεοῦ ἐκ κοιλίας μητρὸς αὐτῶν ἁγίους καὶ ἀτρέπτους,
God from (the)-womb of-(the)-mother their holy and unchangeable
καὶ οὐχὶ αὐτεξουσίους· καὶ τοὺς ἁμαρτωλοὺς μὴ δυναμένους
and not free-willed and the sinners not being-able
ζῆν εὐσεβῶς, διὰ τὸ οὕτως κτισθῆναι αὐτούς. Ἄρτι
to-live piously because-of the thus to-have-been-created them now
δὲ βλέπομεν τὴν ἀγαθότητα τοῦ Θεοῦ φανερῶς ἐπὶ τοῦ
but we-see the goodness — of-God plainly in the
Πατρὸς ἡμῶν τούτου· ὅτι ἐξ Ἑλλήνων γονέων ὢν,
Father our this that from pagan parents being
τοσοῦτον θεοσεβὴς γέγονε, καὶ πάσας τὰς ἐντολὰς τοῦ
so-much God-fearing he-has-become and all the commandments —
Θεοῦ ἐνδεδυμένος ἐστίν. Οὐκοῦν καὶ ἡμεῖς δυνάμεθα καὶ
of-God having-put-on he-is so also we can and

πάντες ἀκολουθῆσαι αὐτῷ, ἀνθ' ὧν ἀκολουθεῖ τοῖς
all follow him in-return-for which he-follows the
ἁγίοις. Ἄρα τὸ γεγραμμένον τοῦτό ἐστι· Δεῦτε πρὸς
saints so the(-thing) written this is come to
μὲ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ
me all the(-ones) laboring and burdened and-I
ἀναπαύσω ὑμᾶς. Συναποθάνωμεν οὖν καὶ συζήσωμεν τῷ
will-give-rest you let-us-die-with then and let-us-live-with the
ἀνθρώπῳ τούτῳ, ὅτι ὀρθῶς ὁδηγεῖ ἡμᾶς πρὸς τὸν Θεόν.
man this because rightly he-leads us to — God

CXXVI · OR

Or and Theodore leave the mud of the cell they are building, weeping at the thought of God's visit. Or never lied, swore, or spoke without need; he will not buy palm leaves another has pledged for, and grants a count is good but will not let him cross the ravine. His sayings make humility the monk's crown, bid him blame himself in every temptation, and call slander the soul's death.

Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὤρ καὶ τοῦ ἀββᾶ Θεοδώρου, 1
they-said about — abba Or and — abba Theodore
ὅτι ἦσαν βάλλοντες πηλὸν εἰς κελλίον, καὶ εἶπον πρὸς
that they-were laying mud for (a)-cell and said to
ἀλλήλους, ὅτι Ἐὰν ἐπισκέψηται ἡμᾶς ἄρτι ὁ Θεὸς,
each-other that if visits us now — God
τί ποιοῦμεν; Καὶ κλαύσαντες ἀφῆκαν τὸν πηλὸν, καὶ
what do-we-do and having-wept they-left the mud and
ἀνεχώρησεν ἕκαστος εἰς τὸ κελλίον αὐτοῦ.
withdrew each to the cell his

2 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὥρ, ὅτι οὔτε ἐψεύσατό ποτε,
they-said about — abba Or that neither he-lied ever
οὔτε ὤμοσεν, οὔτε κατηράσατο ἄνθρωπον, οὔτε ἐκτὸς
nor swore nor cursed (a)-man nor outside
ἀνάγκης ἐλάλησεν.
necessity spoke

3 Ἔλεγεν ὁ ἀββᾶς Ὥρ τῷ μαθητῇ αὐτοῦ Παύλῳ· Βλέπε,
said — abba Or to-the disciple his Paul see
μηδέποτε ἀλλότριον λόγον ἐνέγκῃς εἰς τὸ κελλίον τοῦτο.
never (a)-foreign word bring into the cell this

4 Ἀπῆλθέ ποτε Παῦλος ὁ μαθητὴς τοῦ ἀββᾶ Ὥρ ἀγοράσαι
went-away once Paul the disciple — of-abba Or to-buy
θαλλία, καὶ εὗρεν ὅτι ἄλλοι προέλαβον, καὶ ἔδωκαν
palm-shoots and found that others had-come-first and had-given
ἀῤῥαβῶνα. Οὐδέποτε γὰρ ἀῤῥαβῶνα ἐδίδου ὁ ἀββᾶς Ὥρ
(a)-pledge never for (a)-pledge gave — abba Or
εἰς τί ποτε, ἀλλὰ τῷ καιρῷ ἀπέστελλε τὸ τίμημα,
for anything ever but at-the time he-sent the price
καὶ ἠγόραζεν. Ἀπῆλθεν οὖν ὁ μαθητὴς αὐτοῦ καὶ εἰς
and bought went-away then the disciple his also to
ἄλλον τόπον διὰ βαΐα· καὶ λέγει αὐτῷ ὁ κηπουρός·
another place for palm-branches and says to-him the gardener
Τίς ποτε ἔδωκέ μοι ἀῤῥαβῶνα, καὶ οὐκ ἔτι ἦλθε·
someone once gave me (a)-pledge and not any-longer came
λάβε οὖν τὰ βαΐα σύ. Καὶ λαβὼν αὐτὰ ἦλθε
take then the palm-branches you and having-taken them he-came
πρὸς τὸν γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ ταῦτα. Καὶ ὡς
to the old-man and reported to-him these(-things) and as
ἤκουσεν ὁ γέρων, ἔκρουσεν εἰς τὰς χεῖρας αὐτοῦ, λέγων·
heard the old-man he-struck on the hands his saying

Ὁ Ὥρ οὐκ ἐργάζεται ἐφ᾽ ἔτος. Καὶ οὐκ ἀφῆκε τὰ
— Or not works for (the)-year and not he-let the
βαΐα ἔσω, ἕως ἀπήνεγκεν αὐτὰ εἰς τὸν τόπον αὐτῶν.
palm-branches inside until he-carried-back them to the place their
Εἶπεν ὁ ἀββᾶς Ὥρ· Εἰ ὁρᾷς με λογισμὸν ἔχοντα κατὰ 5
said — abba Or if you-see me (a)-thought having against
τινὸς, γίνωσκε ὅτι καὶ αὐτὸς τὸν αὐτὸν ἔχει εἰς ἐμέ.
someone know that also he-himself the same has toward me
Ἦν τις κώμης ἐν τοῖς μέρεσι τοῦ ἀββᾶ Ὥρ, 6
there-was a-certain count in the parts — of-abba Or
Λογγῖνος καλούμενος, καὶ πολλὰς ἐλεημοσύνας ἐποίει· καὶ
Longinus called and many alms he-did and
παραβαλόντι τινὶ τῶν Πατέρων, παρεκάλεσεν αὐτὸν ἵνα
having-visited one of-the Fathers he-besought him that
ἄρῃ αὐτὸν πρὸς τὸν ἀββᾶν Ὥρ. Ἀπελθὼν οὖν πρὸς τὸν
he-take him to — abba Or having-gone then to the
γέροντα ὁ μοναχὸς ἐνεκωμίαζε τὸν κώμητα, ὅτι καλός
old-man the monk praised the count that good
ἐστι, καὶ πολλὰς ἐλεημοσύνας ποιεῖ. Καὶ νοήσας ὁ
he-is and many alms does and having-understood the
γέρων, λέγει· Ναὶ καλός ἐστιν. Ἤρξατο οὖν ὁ μοναχὸς
old-man says yes good he-is began then the monk
παρακαλεῖν αὐτὸν, λέγων· Συγχώρησον αὐτὸν, ἀββᾶ, ἵνα
to-beseech him saying allow him abba that
ἔλθῃ καὶ ἴδῃ σε. Καὶ ἀποκριθεὶς ὁ γέρων εἶπε· Φύσει
he-come and see you and having-answered the old-man said truly
οὐ περνᾷ τὴν φάραγγα ταύτην, καὶ βλέπει με.
not he-crosses the ravine this and sees me
Ἠρώτησεν ὁ ἀββᾶς Σισόης τὸν ἀββᾶν Ὥρ, λέγων· Εἰπέ 7
asked — abba Sisoes — abba Or saying tell
μοι λόγον. Καὶ εἶπεν αὐτῷ· Ἔχεις πίστιν εἰς ἐμέ; Καὶ
me (a)-word and he-said to-him do-you-have faith in me and

εἶπε· Ναί. Εἶπεν οὖν αὐτῷ· Ὕπαγε, καὶ ὃ ἑώρακάς
he-said yes said then to-him go and what you-have-seen
με ποιοῦντα, ποίησον καὶ σύ. Καὶ εἶπεν αὐτῷ· Τί ὁρῶ,
me doing do also you and he-said to-him what do-I-see
Πάτερ, εἰς σέ; Ἔφη δὲ αὐτῷ ὁ γέρων, ὅτι Ὁ λογισμός
Father in you said and to-him the old-man that the thought
μου κατώτερός ἐστι πάντων ἀνθρώπων.
my lower is than-all men

8 Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὥρ καὶ τοῦ ἀββᾶ Θεοδώρου, ὅτι
they-said about — abba Or and — abba Theodore that
ἦσαν βάλλοντες ἀρχὰς ἀγαθὰς, καὶ εὐχαριστοῦντες τῷ
they-were laying beginnings good and giving-thanks —
Θεῷ διαπαντός.
to-God continually

9 Εἶπεν ὁ ἀββᾶς Ὥρ· Στέφανός ἐστι μοναχοῦ ἡ
said — abba Or (the)-crown is of-(a)-monk the
ταπεινοφροσύνη.
humility

10 Εἶπε πάλιν· Ὁ πλέον τῆς ἀξίας τιμώμενος ἢ
he-said again the(-one) more-than the worth honored or
ἐπαινούμενος πολὺ ζημιοῦται· ὁ δὲ μηδὲ ὅλως
praised much is-harmed the(-one) but not at-all
τιμώμενος ὑπὸ τῶν ἀνθρώπων ἄνωθεν δοξασθήσεται.
honored by the men from-above will-be-glorified

11 Πάλιν εἶπεν· Ὅταν λογισμὸς ὑψηλοφροσύνης ἢ ὑπερηφανίας
again he-said when (a)-thought of-high-mindedness or of-pride
ὑπεισέλθοι σοι, ἐρεύνα σου τὸ συνειδὸς, εἰ πάσας
steals-in on-you search your the conscience whether all
τὰς ἐντολὰς ἐφύλαξας, εἰ ἀγαπᾷς τοὺς ἐχθρούς σου,
the commandments you-have-kept whether you-love the enemies your
καὶ λυπῇ ἐπὶ τῇ ἐλαττώσει αὐτῶν, καὶ ἔχεις ἑαυτὸν
and you-are-grieved at the loss their and you-hold yourself

δοῦλον ἀχρεῖον, καὶ πάντων ἁμαρτωλότερον· καὶ τότε
(a)-servant unprofitable and than-all more-sinful and then
μηδὲ οὕτως μέγα φρονήσῃς, ὡς πάντα κατορθώσας·
not-even so great think as all(-things) having-accomplished
εἰδὼς ὅτι οὗτος ὁ λογισμὸς πάντα καταλύει.
knowing that this the thought all(-things) destroys
Εἶπε πάλιν· Ἐν παντὶ πειρασμῷ μὴ μέμφου ἄνθρωπον, 12
he-said again in every temptation do-not blame (a)-man
ἀλλὰ σεαυτὸν μόνον, λέγων, ὅτι Διὰ τὰς ἁμαρτίας μου
but yourself only saying that because-of the sins my
ταῦτα συμβαίνει μοι.
these(-things) happen to-me
Πάλιν εἶπε· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου κατὰ τοῦ ἀδελφοῦ 13
again he-said do-not say in the heart your against the brother
σου, λέγων, ὅτι Νηφαλιώτερός εἰμι καὶ ἀσκητικώτερος·
your saying that more-sober I-am and more-ascetic
ἀλλ' ὑποτάσσου τῇ χάριτι τοῦ Χριστοῦ ἐν πνεύματι
but submit to-the grace — of-Christ in (a)-spirit
πτωχείας καὶ ἀγάπης ἀνυποκρίτου, ἵνα μὴ πνεύματι
of-poverty and of-love unfeigned that not (a)-spirit
καυχήσεως περιπέσῃς, καὶ ἀπολέσῃς σου τὸν κόπον.
of-boasting you-fall-into and lose your the labor
Γέγραπται γάρ· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ.
it-is-written for the(-one) thinking to-stand let-him-see lest he-fall
Ἅλατι δὲ ἠρτυμένος ἔσο ἐν Κυρίῳ.
with-salt and seasoned be in (the)-Lord
Εἶπε πάλιν· Ἢ φεύγων φεῦγε τοὺς ἀνθρώπους, ἢ 14
he-said again either fleeing flee the men or
ἔμπαιξον τὸν κόσμον καὶ τοὺς ἀνθρώπους, μωρὸν σεαυτὸν
mock the world and the men (a)-fool yourself
εἰς τὰ πολλὰ ποιῶν.
in the many(-things) making

15 Πάλιν εἶπεν· Ἐὰν καταλαλήσῃς τοῦ ἀδελφοῦ σου, καὶ
again he-said if you-slander the brother your and
πλήξῃ σε τὸ συνειδός σου, ἄπελθε, βάλε αὐτῷ μετάνοιαν,
strikes you the conscience your go-away make to-him penitence
καὶ εἰπὲ, ὅτι Κατελάλησά σου, καὶ ἀσφάλισαι μηκέτι
and say that I-slandered you and make-sure no-longer
ἐμπαιχθῆναι. Θάνατος γάρ ἐστι τῆς ψυχῆς ἡ καταλαλιά.
to-be-tricked death for is of-the soul the slander